Νο 459
Σ.Β.Σ. Ly 108
Α 751

# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΥ ΟΣΙΟΜΑΡΤΥΡΟΣ

## ΝΕΚΤΑΡΙΟΥ

τοῦ ἐκ Βρυούλλων τοῦ ἀσκήσαντος ἐν τῇ Ἱερᾷ Σκήτῃ τῆς Θεοπρομήτορος ἁγίας Ἄννης.
Καὶ τῆς ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας.

---

*ΕΚΔΙΔΟΤΑΙ:*
*ΔΑΠΑΝΗ ΤΟΥ ΠΑΝΟΣΙΟΛΟΓΙΩΤΑΤΟΥ ΠΑΠΑΚΑΙΣΑΡΙΟΥ ΔΙΟΝΥΣΙΑΤΟΥ ΤΟΥ ΕΚ ΒΡΥΟΥΛΛΩΝ.*

---

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠ. Α.Ε.Ε. ΝΕΑ ΕΛΛΗΝΙΚΗ ΗΩΣ
(Ι. ΧΑΤΖΗΙΩΑΝΝΟΥ) ΙΠΠΟΚΡΑΤΟΥΣ 15 Β
1930




Ὁ ἐκ Βρυούλλων τῆς Μ. Ἀσίας Ὁσιομάρτυς Νεκτάριος.

# ΜΗΝΙ ΙΟΥΛΙΩ ΙΑ΄.

Μνήμη τοῦ ἁγίου Ἐνδόξου Ὁσιομάρτυρος Νεκταρίου τοῦ ἐκ Βρυούλων, τοῦ ἀσκήσαντος ἐν τῇ Ἱερᾷ Σκήτῃ τῆς Θεοπρομήτορος ἁγίας Ἄννης· καὶ μνήμη τῆς ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας.

**Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ ἁγίου. Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.**

*Ποίοις ὑμνῳδιῶν κάλλεσι, στεφανώσωμεν τὸν στεφανίτην ; τὸν λαμπρὰ τῆς νίκης Νεκτάριον, καὶ κατὰ τῆς πλάνης στήσαντα τρόπαια, τῆς θεομισοῦς καὶ παμβεβήλου· καὶ ταύτην, τῆς ἀληθείας τοῖς πυρσεύμασι, γενναίως καὶ ἀτρομήτως στηλιτεύσαντα· ὃν περ πάνυ ἐπαξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.* (Δίς).

*Ποίοις εὐφημιῶν χείλεσιν, ἐπαινέσωμεν τὸν ἀθλοφόρον ; τὸν ἐκ γῆς πρὸς ὕψος οὐράνιον, ἀναπτάντα θεῖον Νεκτάριον, καὶ τὰς σκηνὰς τῶν ἀθλοφόρων οἰκοῦντα· ἀεὶ δέ, τῷ θείῳ θρόνῳ παριστάμενον· καὶ θείοις, χοροῖς Ἀγγέλων συγχορεύοντα, τὸν καθαιρέτην τῆς πλάνης, τὸν στερρὸν ὁπλίτην, δι' οὗ δαιμόνων ὀφρῦν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.*

*Ποίοις μελῳδιῶν ἄνθεσιν, ἀναδήσωμεν τὸν στεφανίτην ; τῆς θεογνωσίας τὸν κήρυκα, καὶ τῆς ἀπιστίας τὸ δρέπανον, τῶν Ὁσίων κλέος καὶ Μαρτύρων Βρυούλλων, περιφανέστατον ἀγλάϊσμα· καὶ θρέμμα, εὐαγέστατον τοῦ Ἄθωνος τὴν ἀναβλύζουσαν κρήνην, ἰαμάτων ὄμβρους, οὓς ἀντλοῦντες οἱ πιστοί, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐν ὕμνοις μεγαλύνομεν.*

**Δόξα, Ἦχος πλ. δ΄.**

*Σήμερον ὁ Ὁσιομάρτυς Νεκτάριος, ἐν δύο πλουτῶν ἀθλήσεσι, τῇ πρότερον ἀσκήσεσι, καὶ εἶτα τοῦ μαρτυρίου, διὰ τὸν πρὸς Χριστὸν ὃν εἶχεν ἐγκάρδιον ἔρωτα, δύο σκηνὰς ἐκληρώσατο, καὶ τῶν Ὁσίων καὶ τῶν Μαρτύρων, μετ' αὐτῶν εἰς αἰῶνας ἀγαλλόμενος τούτῳ οὖν καὶ ἡμεῖς πιστῶς ἐκβοήσωμεν· θεράπων Χριστοῦ, καὶ φίλε πιστότατε, μὴ διαλίπῃς πρεσβεύων αὐτῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

**Καὶ νῦν, Θεοτοκίον, ὁ αὐτός.**

*Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.*

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια, Ἦχος β'.

**Οἶκος τοῦ Εὐφραθᾶ.**

*Στίφη νῦν τῶν πιστῶν, καὶ τῶν Βρυούλλων παῖδες, ἀσπάσασθε προθύμως, τοῦ θείου Νεκταρίου, λείψανα τὰ πάντιμα.*

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.**

*Ῥείθροις προκαθαρθείς, δακρύων ὡς ὁ Πέτρος, Νεκτάριε ἐγένου, συμμέτοχος ἐκείνου, Χριστοῦ παθῶν μακάριε.*

**Στίχ. Θαυμαστὸς ὁ Θεός.**

*Ὄλλυται ὁ ἐχθρός, βέλει τῆς καρτερίας, τῆς σῆς Χριστοῦ ὁπλῖτα Νεκτάριε γενναῖε, ὁ σοῦ κατακαυχώμενος.*

**Δόξα, καὶ νῦν, ὅμοιον.**

*Ὑπέρθεε Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, λιταῖς τῆς Θεοτόκου, καὶ ταῖς τοῦ Νεκταρίου, θέωσον τοὺς ὑμνοῦντάς σε.*

**Ἀπολυτίκιον τοῦ ἁγίου.**
**Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

*Τῆς Σκήτεως τὸ ῥόδον, καὶ τοῦ Ἄθω ἐκλόγιον καὶ τῆς τῶν Βρυούλλων τὸ κλέος, καὶ σεπτὸν θεῖον βλάστημα. Νεκτάριον τιμήσωμεν πιστοί, τὸν Ὅσιον καὶ Μάρτυρα Χριστοῦ, τὸν ἀθλήσαντα γενναίως καὶ τελέσαντα θαυμάσια παράδοξα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐν γῇ καὶ οὐρανῷ σὲ θαυμαστώσαντι.*

**Θεοτοκίον.**

*Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσαυα τὸν Κτίστην σου· δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.*

Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν *Προοιμιακόν*, στιχολογοῦμεν τό, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχους η'. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ ἁγίου· Ἦχος δ'.

**Ὡς γενναῖον ἐν Μάρτυσιν.**

*Τὸν ἐν Μάρτυσιν ὕστατον, καὶ Ὁσίοις Νεκτάριον, τῇ δὲ δόξῃ πρώτιστον, ὥσπερ γέγραπται, ἀνευφημήσωμεν ᾄσμασι, Βρυούλλων τὸ βλάστημα, καὶ τὸ καύχημα ὁμοῦ, τὸ φυτὸν τὸ μελίρρυτον, ὅπερ ἔτεμε, τὸ ἀπαίσιον ξίφος τῶν τυράννων, καὶ ἐκέρασε τὸ νέκταρ, τοῖς εὐσεβέσι τὸ ἥδιστον.* (δίς).



*Ἀειρρύτοις δακρύοις σου, καὶ λοιποῖς ἀγωνίσμασι, σῆς στερρᾶς ἀσκήσεως ἐγεώργησας, ἡμῖν τὸν βότρυν τὸν πέπυρον, ληνῷ μαρτυρίου σου, ὃν ἐπάτησας σοφέ, ὅθεν οἶνον Νεκτάριε, τὸν εὐφρόσυνον, ἀγαλλόμενοι πίνομεν βοῶντες· ἐν τῇ θείᾳ ἑορτῇ σου, δόξα τῷ σὲ ἐνισχύσαντι.*

*Θεία κρήνη πηγάζουσα, νεκταρώδη ἰάματα, τοῖς πιστοῖς Νεκτάριε, Μάρτυς ἔνδοξε, ἡ σὴ σορὸς ἀναδέδεικται, ἐξ ἧς ἀρυόμεθα, κατ' ἀμφοῖν τὴν ἀρωγήν, τῆς ψυχῆς καὶ τοῦ σώματος ἀγαλλόμεθα, κατὰ χρέος τὴν μνήμην σου τιμῶντες, καὶ γενναίους σου ἀγῶνας, οὓς ὑπὲρ πίστεως ἤνυσας.*

**Ἕτερα Στιχηρὰ Προσόμοια τῆς ἁγίας· Ὅμοια.**

*Τὴν σορὸν τῶν λειψάνων σου, καθορῶντες πανεύφημε, ῥῶσιν ἀρυόμεθα ἀδαπάνητον, καὶ τὰς ψυχὰς φωτιζόμεθα, καὶ νοῦν ἐλλαμπόμεθα, καθαρθέντες νοητῶς, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, μεσιτείαις σου, ἱεραῖς Εὐφημία διὰ τοῦτο, μετὰ πόθου εὐφημοῦμεν, τὴν ἱεράν σου πανήγυριν.* (Δίς).

*Καὶ πυρὶ προσωμίλησας, καὶ θηρίοις ἐκδέδοσαι, καὶ ἐν λάκκῳ βέβλησαι καλλιπάρθενε, καὶ τοῖς τροχοῖς ἐπιτέθεισαι, ἐξ ὧν σε ἐρρύσατο, ὁ τῶν ὅλων ποιητής, καταισχύνας τὸν ταῦτά σοι, μηχανόμενον καὶ δοξάσας σε Μάρτυς Εὐφημία, τὴν κηρύξασαν τὸν ἕνα, Χριστὸν ἐν δύο ταῖς φύσεσιν.*

*Εὐτυχῆ καὶ Διόσκορον, καὶ τοὺς τούτοις ὁμόφρονας, Ἀκεφάλους ἅμα τε καὶ παράφρονας, τοὺς ἀνιάτως νοσήσαντας, εἰς τέλος κατῄσχυνεν Εὐφημία ἡ σεπτή, καὶ Χριστὸν ἀνεκήρυξε, ταῖς θελήσεσιν, ἐνεργείαις τε ἅμα διπλοῦν ὄντα, καθ' ὑπόστασιν δὲ ἕνα, ὡς οἱ Πατέρες ἐτράνωσαν.*

**Δόξα, Ἦχος πλ. β'.**

*Τὴν ἐτήσιον μνήμην τοῦ Ὁσιομάρτυρος Νεκταρίου, ἀξιοπρεπῶς πάντες οἱ πιστοὶ μετ' εὐλαβείας τελέσωμεν. Οὗτος γὰρ δι' ἀγάπην Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἰδίου σώματος οὐκ ἐφείσατο, ἀλλ' ὡς θῦμα τοῖς ἀνόμοις παρέδωκεν ἑαυτόν, γενναίως ἀγωνισάμενος, καὶ τὴν κάραν ἀποτμηθείς, πρεσβεύει ὑπὲρ ἡμῶν πρὸς Κύριον.*

**Καὶ νῦν, Θεοτοκίον, ὁ αὐτός.**

*Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.*

Εἴσοδος· τό, Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα:

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν, ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ, σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρης ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσ-



σης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Εἰς τὴν Λιτήν· Ἰδιόμελα· Τοῦ ἁγίου. Ἦχος β΄.

Τὸν ἀδαμάντινον ἐν ἀθλήσει, καὶ ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ, μυρία παθόντα πάθη, Νεκτάριον τὸν Ὁσιομάρτυρα, ἀξίως εὐφημήσωμεν· οὗτος γὰρ ἀπτοήτως ἐνώπιον τῶν ἀνόμων, τὸ γλυκύτατον ὄνομα τοῦ Χριστοῦ, λαμπρῶς ἀνεκήρυξε, καὶ τῷ τῆς νεότητος αὐτοῦ εὐτόλμῳ, πάντας ἐξέπληξε· δικαίως οὖν ἡ τῶν Βρυούλλων πόλις ἐναβρύνεται, καὶ σὺν πᾶσι βοᾷ, ῥῦσαι ἡμᾶς Κύριε, πόνων καὶ θλίψεων, καὶ πάσης κακώσεως, ταῖς αὐτοῦ εὐπροσδέκτοις δεήσεσιν.

### Τῆς ἁγίας. Ἦχος ὁ αὐτός.

Ὢ τοῦ παραδόξου θαύματος! ὥσπερ ζῶσα ἡ μάρτυς, καὶ θανοῦσα ἐν λάρνακι, ταῖς τιμίαις αὐτῆς χερσί, τὸν ἡμέτερον τόμον ἐπέφερε, τὸν δὲ τῶν αἱρετικῶν τοῖς ποσὶ κατεπάτησεν, ἐκφαυλίζουσα τούτων τὸ κακόνουν καὶ βλάσφημον· τῶν δὲ πιστῶν κρατύνουσα τὸ ὀρθὸν καὶ ἀκίβδηλον· ἕνα μὲν καθ' ὑπόστασιν τὸν Χριστὸν κηρυττόντων, διπλοῦν δὲ κατὰ φύσιν καὶ θέλησιν· ἧς ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, εἰρήνην ταῖς Ἐκκλησίαις σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

### Ἦχος γ΄.

Τοὺς τῆς ἀθλήσεως μάρτυς ἀγῶνας, καὶ τῆς πίστεως, οὓς ὑπὲρ Χριστοῦ ἠγωνίσω, ἐν ἀσθενεῖ τοῦ θήλεος φύσει, ἐπαξίως τίς διηγήσεται; ἢ τίς ἐξειπεῖν κατισχύσει τῶν ἀρετῶν σου τὰ προτερήματα, καὶ τῶν σῶν θαυμάτων τὰ πλήθη, Εὐφημία πανεύφημε; τό τε στερρὸν τῶν ὀρθῶν δογμάτων, καὶ ὀρθοδοξίας τὸ μόνιμον; διὸ καὶ ὑπὸ τῶν θείων Πατέρων, τὸν τῆς πίστεως Ὅρον, ὡς ζηλωτὴς ταύτης πεπίστευσαι, ὃν καὶ φυλάττεις διὰ παντὸς ἀπαράτρεπτον, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος δ΄.

Μαρτυρικὴν πανήγυριν, ἐπὶ γῆς τελουμένην, κατοπτεύοντες σήμερον, εὐφρανθῶμεν τῷ πνεύματι, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι· συνεκάλεσε γὰρ ἡμᾶς Εὐφημία ἡ σεπτή, διὰ τοῦ ἱεροῦ καὶ καλοῦ τῆς Ἐκκλησίας ποιμένος· καὶ προθεῖσα ἡμῖν ἑαυτήν, συγχωρεῖ ἑκάστῳ τὸν ἁγιασμὸν ἀπαρύσασθαι. Προσέλθωμεν δὴ ἐν πίστει, καὶ ἀδιστάκτῳ διανοίᾳ, μηδὲν ὑφορώμενοι, ἵνα ἐκ τῆς ἁγίας σοροῦ, ἀπαντλήσωμεν ἀφθόνως τῶν νοσημάτων τὴν ἴασιν, αἰτούμενοι συγχώρησιν παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ τὸ μέγα ἔλεος.

**Τοῦ ἁγίου. Δόξα, ἦχος δ'.**

Ὁσιομάρτυς Χριστοῦ, Νεκτάριε ἀξιάγαστε, σὺ τὴν ὀφρὺν τῶν ἀνόμων καὶ ἀσεβῶν, καθεῖλες γενναιότατα· σὺ καὶ τὴν βλαστήσασάν σε πόλιν τῶν Βρυούλλων, ἐν κόσμῳ ἐμεγάλυνας τῇ σπουδῇ τῶν αἱμάτων σου, καὶ πάντας ὀρθοδόξους ὑπερεφαίδρυνας· ὡς ἔχων παρρησίαν πρὸς Κύριον, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὸ ἱερόν σου μνημόσυνον.

**Καὶ νῦν, Θεοτοκίον, ὁ αὐτός.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν Στίχον· Στιχηρὰ Προσόμοια· Ἦχος πλ. α'.**
**Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις ὁ τὴν χαρὰν τοῖς πιστοῖς, τῇ εὐτολμίᾳ τοῦ σεπτοῦ μαρτυρίου σου, πηγάσας καὶ κατευφράνας, ψυχὰς ἁπάντων ἡμῶν, τῶν Βρυούλλων κλέος, καὶ ἕρκος Νεκτάριε· σὺ τὴν πλάνην ἀπήλεγξας, τῶν τυράννων ἐνώπιον, λαμπρῶς κηρύξας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ὁμοούσιον, σύνθρονόν τε καὶ σύνεδρον, εἶναι τὸν Ἰησοῦν Χριστόν, φανέντα δὲ ἄνθρωπον, ἀφράστῳ φιλανθρωπίᾳ, καὶ θεϊκῇ ἀγαθότητι· αὐτὸν οὖν δυσώπει, ἱλασμὸν ἡμῖν δοθῆναι καὶ μέγα ἔλεος.

**Στίχ. Θαυμαστὸς ὁ Θεός.**

Χαίροις ὁ τὴν χαρὰν ἀθλητά, εἰς πένθος τρέψας τοῦ δολίου Νεκτάριε, Ὢ θαῦμα! πῶς τὴν Παρθένον κατηξιώθης ἰδεῖν, σοὶ προσφθεγγομένην προσηνέστατα, ὁμοῦ καὶ θαρρύνουσαν, πρὸς τὸ στάδιον Ὅσιε· ὅθεν ἁπάσας, ὑποσχέσεις, ἀπέρριψας τῶν τυράννων σου, δολερῶς ἃς ὑπέβαλεν, ὄφις ὁ σκολιώτατος καὶ ἤθλησας ἄριστα, ἀποτμηθείς σου τὴν κάραν, ἣν Χριστὸς δόξῃ ἔστεψεν· αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

**Στίχ. Τοῖς ἁγίοις ἐν τῇ γῇ.**

Χαίροις ὁ συγχορεύων χοροῖς, τῶν ἀθλοφόρων ὁμοτρόπων σου ἔνδοξε, τοῦ θρόνου κατενάντιον, τοῦ ἀθλοθέτου Χριστοῦ, τὴν στολήν σου ἔχων ἀποστίλβουσαν, ἐξ ἁγίων αἱμάτων σου, καὶ τὴν κάραν Νεκτάριε, κατεστεμμένην, καὶ ἀκτῖνας ἐκπέμπουσαν, ἣν ἀπέτεμον, οἱ φρυάττοντες τύραννοι, Μάρτυς τὴν παρρησίαν σου, δι' ὅσοι κραυγάζομεν· Υἱὸν Θεοῦ καὶ Σωτῆρα, τὸν Ἰησοῦν ὃν δυσώπησον, σοφὲ καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ μέγα ἔλεος.

**Δόξα, Ἦχος πλ. δ'.**

Σήμερον ὁ Ὁσιομάρτυς Νεκτάριος, ἐν δύο πλουτῶν ἀθλήσεσι, τῇ πρότερον ἀσκήσει, καὶ εἶτα τοῦ μαρτυρίου, διὰ τὸν πρὸς Χριστὸν ὃν εἶχεν ἐγκάρδιον ἔρωτα, δύο σκηνὰς ἐκληρώσατο, καὶ τῶν ὁσίων καὶ τῶν μαρτύρων, μετ' αὐτῶν εἰς αἰῶνας ἀγαλλόμενος· τούτῳ οὖν καὶ ἡμεῖς πιστῶς ἐκβοήσωμεν· θεράπων Χριστοῦ καὶ φίλε πιστότατε, μὴ διαλίπῃς πρεσβεύων αὐτῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



**Καὶ νῦν, Θεοτοκίον, ὁ αὐτός.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον τοῦ ἁγίου, Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς Σκήτεως τὸ ῥόδον, καὶ τοῦ Ἄθω ἐκλόγιον, καὶ τῆς τῶν Βρυούλλων τὸ κλέος, καὶ σεπτὸν θεῖον βλάστημα· Νεκτάριον τιμήσωμεν πιστοί, τὸν Ὅσιον καὶ Μάρτυρα Χριστοῦ, τὸν ἀθλήσαντα γενναίως καὶ τελέσαντα θαυμάσια παράδοξα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐν γῇ καὶ οὐρανῷ σὲ θαυμαστώσαντι.

**Τῆς ἁγίας, Δόξα, Ἦχος γ'. Θείας πίστεως.**

Λίαν εὔφρανας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία Χριστοῦ καλλιπάρθενε· τῆς γὰρ τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ Πατέρες καλῶς ἐδογμάτισαν· Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν, Θεοτοκίον, ὁ αὐτός.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα τοῦ ἁγίου· Ἦχος γ'.**
**Θείας πίστεως.**

Πόθῳ ζέοντι τῷ τοῦ Δεσπότου, πυρπολούμενος, ἀνδρειοφρόνως, τοὺς τῆς πλάνης προμάχους κατῄσχυνας, καὶ ἐν σταδίῳ Χριστὸν ὡμολόγησας, χαριτώνυμε, παμμάκαρ Νεκτάριε, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Τῆς ἁγίας, Δόξα, Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Κατῃσχύνθησαν αἰσχρῶς, αἱρετιζόντων ἡ πληθύς, καὶ τὰ πρόσωπα αὐτῶν, ὕβρεως πέπλησται πολλῆς, ὅτε ἑώρων ποσί σου κατερριμένον,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

τὸν Τόμον ἑαυτῶν, τὸν δὲ ἡμέτερον, τιμίαις σου χερσί, κατεχόμενον κατηγοροῦντα ἄνοιαν ἐνδίκως, τῶν κακοδόξων καὶ κράζοντα· Χριστὸς ἐτέχθη, διπλοῦς τῇ φύσει, διπλοῦς δὲ καὶ ταῖς θελήσεσι.

**Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

**Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα τοῦ ἁγίου· Ἦχος δ΄.**
**Κατεπλάγη Ἰωσήφ.**

Ποταμὸς ὡς ἐξ Ἐδέμ, ἐκ τῆς Ἑῴας ἀθλητά, προχεόμενος πληροῖς, ἅπαν τὸ πρόσωπον τῆς γῆς, καὶ κατακλύζεις τοῖς χεύμασι τῶν σῶν αἱμάτων, τὴν γῆν τῶν ἀσεβῶν, τὴν ἀκανθόβλαστον, ἀρδεύεις νοητῶς δὲ τὸν Παράδεισον, βλαστοὺς ὡραίους φέροντα Μαρτύρων, νεοαθλῶν ὦ Νεκτάριε· σὲ μιμουμένους, καὶ ἐναθλοῦντας, καὶ τὸν Χριστὸν δοξάζοντας.

**Τῆς ἁγίας, Δόξα, Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.**

Ἐν τῇ εὐσήμῳ ἑορτῇ τῆς πανευφήμου, μετ' ἐγκωμίων ψαλμικῶς πιστῶν ὁ δῆμος, εὐφημήσωμεν πόθῳ Χριστοῦ τὴν παρθένον· δογμάτων γὰρ ἀνεδείχθη τῶν πατρικῶν, προστάτις καὶ μετὰ τέλος θαῦμα φρικτόν! Εὐτυχῆ καὶ Διόσκορον, ἐλέγξασα νῦν τοὺς κακῶς, νοσήσαντας εἰς δόγμα Χριστοῦ, ὃν ὑμνοῦντες δοξάζομεν.

**Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.**

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνὴ καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου Κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως σῶσον ἡμᾶς, Παρθένε παντελεῆμον ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα, τοῦ ἁγίου. Ἦχος α΄.**
**Τὸν τάφον σου Σωτήρ.**

Ἡ θήκη ἀληθῶς, ἡ κατέχουσα Μάρτυς, τὴν θείαν δεξιάν, καὶ τὴν κάραν σου, ὤφθη, πηγάζουσα ἰάματα, ὥσπερ κρήνη νεκτάρεια, ἣν οἱ δοῦλοί σου, περικυκλοῦντες ἐκ πόθου, ἀρυόμεθα, ἁμαρτημάτων τὴν λύσιν, καὶ βίου διόρθωσιν.

**Τῆς ἁγίας, Δόξα, ὅμοιον.**

Ἡ νύμφη καὶ ἀμνάς, τετρωμένη τῷ πόθῳ, Χριστὲ τοῦ ἑαυτῆς, οὐρανίου νυμφίου, ὀπίσω σου ἔδραμε, τὴν λαμπάδα κατέχουσα, τὴν δι'



ἔλαιον, τῶν ἀρετῶν ἀνημμένην· ταύτης ἅπαντας, ῥῦσαι παντοίων κινδύνων, πρεσβείαις ὡς εὔσπλαγχνος.

**Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.**

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεὶ σὲ δοξάζουσιν.

**Οἱ Ἀναβαθμοί, τὸ α. Ἀντίφωνον τοῦ δ΄. Ἤχου.**
**Προκείμενον, Ἦχος δ΄.**

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται,

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ. Τό, Πᾶσα Πνοή. Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. (ζήτει εἰς τὸν ὄρθρον τοῦ ἁγίου Γεωργίου). Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

**Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω, καὶ τὸν δρόμον τετέλεκας τοῦ μαρτυρίου σου, Ὁσιομάρτυς Νεκτάριε· διὸ ἐν ὑψίστοις μετὰ Ἀγγέλων πρεσβεύεις, ἀντάξια τῶν πόνων σου λαβὼν τὰ ἄνω βασίλεια.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ. Εἶτα οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τῶν ἁγίων εἰς η΄.

**Ὁ Κανὼν τῆς Θεοτόκου.**
**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.** (Δί.).

» Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή· χαῖρε ζωῆς Μήτηρ, ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις· χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον· χαῖρε Θεοτόκε πανύμνητε.

Ἅρμα τοῦ Λόγου λογικὸν καὶ ἔμψυχον, χαῖρε Πανάμωμε. Δαβιτικὸν χαῖρε ἅρμα μυριοπλάσιον· χαῖρε ἡ ἀσυγκρίτως, τῶν Χερουβεὶμ ὑπερέχουσα, καὶ τῶν Σεραφεὶμ ὑπερφέρουσα.

Ὑψηλοτέρα νοερῶν Δυνάμεων, χαῖρε θεόνυμφε, χαῖρε κτιστῆς πάσης, ἀνωτέρα φύσεως· χαῖρε Θεοῦ παλάτιον, χαῖρε πύρινε θρόνε· χαῖρε λυχνία πολύφωτε· χαῖρε μυριώνυμε Δέσποινα.

Ράβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε· χαῖρε βλαστῷ ῥάβδου, τῆς Ἀαρωνίτιδος, διαγραφεῖσα πρότερον, μυστικῶς καὶ βαθέως· ὡς γὰρ ἐκείνη τὰ κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας.

**Ὁ Κανὼν τοῦ ἁγίου. Ὠδή, α΄. Ἦχος, καὶ Εἱρμός, ὁ αὐτός.**

Ἄναρχε Λόγε, λόγον μοι πρυτάνευσον, ὅπως ὑμνήσω σαφῶς, σοῦ τὸν στεφανίτην, καὶ τὸν νευμάρτυρα, Νεκτάριον τὸν ἔνδοξον, ὅπως τοῦτον προστάτην, καὶ πρεσβευτὴν ἀκαταίσχυντον, ἔχει μοι πρὸς σὲ τὸν Σωτῆρά μου.

Σταυροῦ τῷ ὅπλῳ Μάρτυς συμφραξάμενος, στεῤῥὲ Νεκτάριε, ἔθνους παρανόμου, ἔναντι ἐβάστασας, τὸ ὄνομα τὸ ἅγιον, τοῦ Χριστοῦ κατὰ Παῦλον, διὸ σὺν τούτῳ δεδόξασαι, κάραν παρ' αὐτῶν ἀφαιρούμενος.

Ὅτε ἐν μέσῳ αἱμοβόρων ἔστηκας, βαρβάρων ἔνδοξε, Νεκτάριε Μάρτυς, ὡς ἀρνίον ἄκακον, ἀνηλεῶς σφαττόμενος, ὡς οὐκ ἔσεσθε πλάνοι, καρατομοῦντές με πέμπετε, πρὸς τὸν Ἰησοῦν μου ἐκραύγαζες.

**Θεοτοκίον.**

Φωτὸς δοχεῖον σὺ ἐγένου Πάναγνε, τὸ φῶς τεκοῦσα βροτοῖς, τὴν ἀμαυρωθεῖσαν, πάθεσι καρδίαν μου, καθάρισον διδοῦσά μοι κατανύξεως ὄμβρους, καὶ ἀπαθείᾳ με ἴθυνον, πρὸς τὸν σὸν λιμένα πανάχραντε.

**Ὁ Κανὼν τῆς ἁγίας. Ὠδή, α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.**

**Ἀνοίξω τὸ στόμα μου.**

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ ᾄσω μελῴδημα, τῇ ἀθληφόρῳ Χριστοῦ, καὶ ὀφθήσομαι, φαιδρῶς ἀνακηρύττων τοὺς πόνους οὓς ἤνεγκε, καὶ τὰ παλαίσματα.

Ἰάσεων ἄφθονα, ἡμῖν προχέεις χαρίσματα, τοῖς πίστει προστρέχουσιν, ἐν τῷ Ναῷ σου σεμνή, καὶ αἰτοῦσί σε, ἐκ βάθους τῆς καρδίας, καὶ πόθῳ τὴν μνήμην σου, πανηγυρίζουσιν.

**Δόξα.**

Ναὸς ἐχρημάτισας, κατὰ τὸν θεῖον Ἀπόστολον, ἐν ᾧ περ ηὐδόκησε, Χριστὸς ὁ Κύριος, ἐνοικῆσαί τε, καὶ ἐμπεριπατῆσαι, ψυχῆς καθαρότητι, Μάρτυς πολύαθλε.

**Καὶ νῦν, Θεοτοκίον.**

Οὐ κρύπτομεν Δέσποινα, τοῦ σοῦ ἐλέους τὴν ἄβυσσον, καὶ βρύσιν τὴν ἄφθονον, τῶν τεραστίων σου, καὶ τὸ πέλαγος, τῶν εὐεργεσιῶν σου, ὧν πᾶσι δι' ἔλεον, πολὺν ἐξέχεας.



**Καταβασία.**

» Ἀνοίξω τὸ στόμα μου, (καὶ) καὶ πληρωθήσεται Πνεύματος, καὶ λό-
» γον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πα-
» νηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

**Ὠδή. γ. Ὁ Εἱρμός. (δίς).**

» Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ,
» σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν
» πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Ἰσχυρότατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα· χαῖρε κραταιὰ προστασία, χαῖρε ἀντίληψις, χαῖρε βοήθεια, ἁμαρτωλῶν χαῖρε τεῖχος, τῶν προσκαλουμένων σε, χαῖρε τοῦ κόσμου χαρά.

Σωτηρίας ἀνθρώπων, χαῖρε στεῤῥὸν ἔρεισμα, χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἡ ἐπανάκλησις, δι' ἧς ἀπέλαβον, τὴν παλαιὰν εὐκληρίαν· χαῖρε ἡ ἀνοίξασα πάλιν Παράδεισον.

Χαῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα, χαῖρε τοῦ Ἡλίου νεφέλη, χαῖρε περίδοξε, καὶ περιλάλητε, τοῦ Βασιλέως καθέδρα· χαῖρε πόλις ἔμψυχε, Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Ἀπειρόγαμε Μῆτερ, χαῖρε Ἁγνὴ Δέσποινα· χαῖρε ἡ ἀνήροτος χώρα, καὶ ἀγεώργητος, ἡ γεωργήσασα τὸν γεωργὸν τῶν ἁπάντων· χαῖρε γῆ ἀλήθειαν, ἡ ἀνατείλασα.

**Τοῦ ἁγίου. Ὁ Εἱρμός.**

**Ὁ στερεώσας κατ' ἀρχάς.**

Ὃν δι' ἀπάτης μαγικῆς, ἠρνήσω Μάρτυς ἀφρόνως, ὡς ἐκ μέθης ἀνανήψας ἐν τάχει, ὡμολόγησας αὐτόν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, τὴν πλάνην στηλιτεύσας, τὴν τῶν ἀνόμων Νεκτάριε.

Σὺ ταῖς παγίσιν ἀγρευθείς, ἀνεπαισθήτως τῆς πλάνης, καὶ σαυτὸν ἑωρακὼς ἠγρευμένον, θυρεὸν ἀναλαβών, Νεκτάριε τῆς πίστεως, σὺν τοῖς συστησαμένοις, ταύτας ἀνδρείως συνέτριψας.

Σύ με συνέτισον σοφέ, Νεκτάριε ἵνα μέλψω, τοὺς ἀγῶνας προσφυῶς οὓς ὑπέδυς, ὑπ' αὐτῶν δὲ ὡς ἀμνός, ἀνηλεῶς κοπτόμενος, τὴν πλάνην κατατέμνων, τῶν ἀσεβῶν τὴν παμβέβηλον.

**Θεοτοκίον.**

Ὄρος σὺ εἶ τὸ ὑψηλόν, ἐξ οὗ ἐτμήθη ὁ λίθος, ὁ λεπτύνας τὰ γλυπτὰ τῶν εἰδώλων διὸ Ἄχραντε σεμνή, ψυχῆς μου τὰ ἰνδάλματα, λεπτύνασα πρὸς ὄρος, τῆς ἀρετῆς με χειραγώγησον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Τῆς ἁγίας. Ὁ Εἱρμός. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

Ὢ πῶς ἐν τῷ μέσῳ τοῦ σταδίου, ἀθλοῦσα ἡ Μάρτυς τοῦ Χριστοῦ, τὸν τύραννον ἐξέστησε, δι᾽ ἄκραν καρτερότητα! ἀνδρείως γὰρ ὑπήνεγκε, τὰ τῶν δεινῶν κολαστήρια.

Πανεύφημε Μάρτυς Εὐφημία, εὐφήμοις ἐν ᾄσμασιν ἀεί, τὴν μνήμην σου γεραίρομεν, τὴν σὴν πλουτοῦντες λάρνακα, τὸ λείψανόν σου φέρουσαν, τὸ ἱερὸν καὶ σεβάσμιον.

**Δόξα.**

Ἀνδρείως κατέβαλες τὸν ὄφιν, τὸν μέγαν σεμνὴ τὸν νοητόν, δυναμωθεῖσα χάριτι, Πατρός, Υἱοῦ, καὶ Πνεύματος. τῆς ἀσυγχύτου φύσεως καὶ τρισηλίου Θεότητος.

**Καὶ νῦν, Θεοτοκίον.**

Ὑμνήσωμεν παντες κατὰ χρέος, Μαρίαν τὴν Δέσποιναν Ἁγνήν, τὴν μόνην ἀειπάρθενον, αὕτη γὰρ τὸ κεφάλαιον, τῆς σωτηρίας γέγονεν, ἡμῶν δι᾽ ἄκραν ἀγαθότητα.

**Καταβασία.**

»Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον
» συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ
» σου, στεφάνων δόξης ἀξίωσον.

**Τῆς ἁγίας, Κοντάκιον᾽ Ἦχος β΄.**

Ἀγῶνας ἐν ἀθλήσει ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου· ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων τὸν Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

**Ὁ Οἶκος.**

Τί τῶν σῶν ἀθλημάτων, ἢ τί τῶν σῶν κατορθωμάτων, ἢ τί τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμέμπτου σου θαυμάσειέ τις πρότερον; σὺ γὰρ εὔφρανας τὸν Πατέρα, ὡς τὸ Υἱῷ νυμφευθεῖσα, τῷ Πνεύματι τῷ ἁγίῳ, σαὐτὴν κατακοσμήσασα. Τίς ἱκανοῖ πρὸς ταῦτα; τίς λέγειν νῦν ἰσχύσειεν, ὅσαι σε περιλάμπουσιν ἀρεταὶ μὴ ὑποδύουσαι; ὡς ἐξ ἀνατολῆς γὰρ ἐκ τάφου ἀνατέλλουσα παντὶ φαίνεις, καὶ ἀκτινοβολεῖς ἐν γῇ καὶ θαλάσσῃ, καὶ ἐπὶ πᾶσαν ἤπειρον ἁγιάζεις καὶ μερίζ ις τὰ πέρατα· διὸ Τόμον πεπίστευσαι, ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, τὸν Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

**Τοῦ ἁγίου, Κάθισμα, Ἦχος πλ. δ΄.**
**Τὴν Σοφίαν καὶ Λόγον.**

Μαγικῆς δι᾽ ἀπάτης τῶν ἀσεβῶν, ἐξηρνήσω τὸ ὄνομα τοῦ Χριστοῦ· ὅθεν οὐ διέλιπες, στένων κλαίων Νεκτάριε, καὶ μετανοίας ἔργοις,



ἐν Ὄρει τοῦ Ἄθωνος, καὶ νυχθημέροις πόνοις, Θεὸν ἱλεούμενος, οὕπερ τῇ δυνάμει, σεαυτὸν καθωπλίσας, Χριστὸν ὡμολόγησας, καὶ δι᾽ αἵματος ἔφθασας, διὰ τοῦτο βυῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Τῆς ἁγίας, Δόξα, Ἦχος δ΄.**
**Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ**

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, καὶ τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας πανεύφημε· ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, στέφος τῆς ἀθλήσεως, παρ᾽ αὐτοῦ δεξαμένη· ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίστει τὴν μνήμην σου.

**Καὶ νῦν, Θεοτοκίον.**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

**Ὠδὴ δ΄. Ὁ Εἱρμός, δίς.**

»Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου
»ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν
»πτωχείαν ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυ-
»γάζω· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἀνατολή, τοῦ Πατρικοῦ ἀπαυγάσματος, καὶ Ἡλίου, τοῦ ἐξανατείλαντος, πρὸ ἑωσφόρου ἐκ τοῦ Πατρός, χαῖρε Θεοτόκε, νεφέλη κούφη καὶ ἔμψυχε· Παρθένε χαῖρε Μήτηρ· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη Πανάμωμε.

Σὺ τὸ χρυσοῦν, θυμιατήριον Δέσποινα, τοῦ ἀστέκτου, καὶ ἀΰλου ἄνθρακος, ἐν ᾧ ἐκαύθη διαρραγὲν, τῆς ἀδαμιαίας, παρακοῆς τὸ χειρόγραφον· διό σοι χαῖρε κράζω· δι᾽ ἧς πᾶσιν ἐδόθη, ἡ χαρὰ καὶ τρυφὴ καὶ ἀπόλαυσις.

Σὺ τῶν βροτῶν, δόξα καὶ κλέος καὶ καύχημα, καὶ Ἀγγέλων, στέφος καὶ διάδημα· διὸ ἡ γῆ, καὶ ὁ οὐρανός, μίαν Ἐκκλησίαν, στησάμενοι παναρμόνιον, τὸ χαῖρέ σοι βοῶμεν· χαῖρε Δέσποινα κόσμου, χαῖρε πάντων ἀνθρώπων βοήθεια.

Κλίνη σεπτή, ἣν Σολομὼν προδιέγραψε, κυκλουμένην. δυνατοῖς ἑξήκοντα· χαῖρε Παρθένε ἡ κιβωτός, ἡ κεχρυσωμένη, τοῦ νοητοῦ ἁγιάσματος λαβὶς ἡ θεία χαῖρε· χαῖρε βάτε πυρφόρε· χαῖρε πύλη καὶ κλίμαξ καὶ γέφυρα.

**Τοῦ ἁγίου, ὁ Εἱρμός. Εἰσακήκοα Κύριε.**

Φαεινὸν ὥσπερ ἥλιον, δεξαμένη Μάρτυς ἡ Ἐκκλησία σε, ἀποφράττει τὰ φρυάγματα, τῶν αἱρετιζόντων Νεκτάριε.

Οὗ τὸ κάλλος ἐπόθησας, θᾶττον σὺ δι' αἵματος φθάσαι ἔσπευσας, καὶ τυχὼν μετοχετεύεις νῦν, τοῦτο τοῖς τιμῶσί σε Νεκτάριε.

Νίκης τρόπαια ἔστησας, κατὰ πλάνης Μάρτυς ἀντιταξάμενος, ὅθεν γέρα νῦν ἐπάξια, νέμει σοι ὁ Κύριος Νεκτάριε.

**Θεοτοκίον.**

Τὰς οὐλὰς τῶν τραυμάτων μου, ταῖς ῥοαῖς ἀπόπλυνον, τῶν δακρύων μου, ἵνα εὔθυμος δοξάζω σε, Παναγία Μητροπάρθενε.

**Τῆς ἁγίας, ὁ Εἱρμός. Τὴν ἀνεξιχνίαστον.**

Ὄλβον ἐθησαύρισας τὸν ἀληθῆ, ὃν περ σῆς καὶ βρῶσις οὐ δύναται, ἐξαφανίσαι, καλλιπάρθενε σεμνή· οὐ γὰρ ἐν γῇ κατέκρυψας, τοῖς δεομένοις δὲ ἐσκόρπισας.

Θάμβους ἐπληρώθησαν καὶ χαρμονῆς, ὄντως τῶν Πατέρων ὁ σύλλογος, ἐν ταῖς χερσί σου, καθορῶντες ὦ σεμνή, τὸν Τόμον τὸν ὀρθόδοξον, ἐν δὲ τοῖς ποσὶ τὸν ἀλλότριον.

**Δόξα.**

Ὕβρεως ἐπλήσθησαν σφόδρα πολλῆς, οἱ περὶ Διόσκορον ἅπαντες, καὶ Εὐτυχέα, οἱ νοσήσαντες κακῶς, οὓς ἐπὶ τέλους ᾔσχυνας, Μάρτυς Εὐφημία πανεύφημε.

**Καὶ νῦν, Θεοτοκίον.**

Νόες ἐπουράνιοι τὸ ἐπὶ σοί, ὄντως Θεοτόκε μυστήριον, κατανοοῦντες, ἐξεπλάγησαν· διό, ἰλιγγιῶσι Δέσποινα, ὕμνον κατ' ἀξίαν προσφέρειν σοι.

**Καταβασία.**

»Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλ-
»θεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς
» κραυγάζοντας· Δόξα Χριστὲ τῇ δυνάμει σου.

**Ὠδὴ ε΄. Ὁ Εἱρμός, δίς.**

»Ἵνα τί με ἀπώσω; ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκά-
»λυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ
» πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Νοερὰν σατραπείαν, καὶ τυραννικὴν ἐναέριον φάλαγγα, παρελθεῖν ἀλύπως, ἐν καιρῷ τῆς ἐξόδου μου πάρεχε, ἵνα σοι τὸ χαῖρε, χαρμονικῶς Δέσποινα κράζω· χαῖρε ἐλπὶς ἀκαταίσχυντε.



Ὡς χαρὰν συλλαβοῦσα, χαῖρε ὑπεράμωμε, χαῖρε ὑπέραγνε· χαῖρε τῆς ἁγνείας, πορφυρόχροον ἄνθος ἡδύπνοον· χαῖρε παρθενίας, κοκκοβαφὲς ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ τὸ εὐῶδες ὀσφράδιον.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μύρον ἡ βρύουσα· χαῖρε θεία κρήνη, ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα· χαῖρε ἡ τὸν βότρυν τὸν τῆς ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Ἀδιόδευτε πύλη, χαῖρε ἣν διώδευσε, Χριστὸς ὁ Κύριος· Παραδείσου πύλας, ἡ ἀνοίξασα· χαῖρε τῷ τόκῳ σου· χαῖρε δι' ἧς χαίρει, ὁ οὐρανὸς καὶ γῆ χορεύει, καὶ τὰ ἄνω τοῖς κάτω συνάπτονται.

**Τοῦ ἁγίου, ὁ αὐτός.**

Οὗ τῷ κάλλει ἐτρώθης, πρὸς αὐτὸν ἀνέκραζες θεῖε Νεκτάριε, ποῦ ποιμαίνεις Λόγε, ὡς ἀρνία μαρτύρων τὰ πνεύματα; οἷς συμποίμανόν με, καὶ ἀρωμάτων τῶν ἐκείνων, τὴν ψυχήν μου ὦ Σῶτέρ μου πλήρωσον.(δίς)

Νέος ἐν τοῖς Ὁσίοις, νέος καὶ ἐν Μάρτυσιν ὤφθης Νεκτάριε, ἄμφω τοὺς ἀγῶνας, διανύσας καλῶς Ὁσιόαθλε, νέος στεφανίτης, νῦν τῷ Χριστῷ συμβασιλεύων, τοὺς ὑμνοῦντάς σε σῶζε πρεσβείαις σου.

**Θεοτοκίον.**

Ἔχοντές σε οἱ πόθῳ, κλῆρόν σου τὸν ἅγιον οἰκοῦντες Δέσποινα, ἄγρυπνον προστάτιν, τὰς βουλὰς τῶν ἐχθρῶν ἀποκρούομεν, καὶ ἐπαναστάσεις, τὰς καθ' ἡμῶν ἐπερχομένας· εὐχαρίστως διό σε δοξάζομεν.

**Τῆς ἁγίας, Ὁ Εἱρμός. Ἐξέστη τὰ σύμπαντα.**

Μερίδα πανεύφημε, τὴν ἀγαθὴν προέκρινας, πάντα παριδοῦσα τὰ τοῦ βίου, δόξαν καὶ πλοῦτον· ἑνὸς γὰρ χρεία ἐστί, μέριμναν καὶ τύρβην τῶν πολλῶν, σὺ ἀπεσκοράκισας τὴν Μαρίαν ζηλώσασα.

Ὢ ξένον τεράστιον! νεκρὰ μὲν ἐν τῷ μνήματι, θαύματα τελεῖ δ' ὥσπερ τις ζῶσα, κρείττονα λίαν, ἢ κατὰ ἄνθρωπον, αἱμάτων ἐκβλύζουσα κρουνούς, εἰς ἔνδειξιν μείζονα, ὅτι ζῶσιν οἱ δίκαιοι.

**Δόξα.**

Συνοῦσα τῷ Κτίστῃ σου, ἐν οὐρανοῖς πανεύφημε, ἔντευξιν ποιοῦ ὑπὲρ τῶν πίστει, ἀνευφημούντων τὴν θείαν μνήμην σου, Μάρτυς Εὐφημία τοῦ Χριστοῦ, ὑπὲρ οὗ τὸ αἷμά σου, ὥσπερ θῦμα ἐξέχεας.

**Καὶ νῦν, Θεοτοκίον.**

Ἀνύμφευτε Δέσποινα, τῶν Προφητῶν ἡ πρόρρησις, ὄντως ἐπὶ σοὶ πέρας λαμβάνει· καὶ γὰρ συνέλαβες ἐν τῇ μήτρᾳ τῇ σῇ, τὸν Λόγον τὸν ἄναρχον Πατρός, ὡς ὁ θεῖος σύλλογος τουτονὶ προεκήρυξεν.

ΛΑΪΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Καταβασία.**

» Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρ-
» θένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον
» Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύουσα.

**Ὠδή, στ΄. Ὁ Εἱρμός.** (Δίς).

» Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις
» ὅτι κακῶν, ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγ-
» γισε· καὶ δέομαι ὡς Ἰωνᾶς· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Ἡ ἔμψυχος, χαῖρε Δέσποινα κόχλος, ἡ κογχύλη σῶν αἱμάτων ἀχράντων, πορφυραυγῆ, ἐρυθρὰν ἁλουργίδα, τῷ τοῦ παντὸς Βασιλεῖ, πορφυρώσασα, τὴν γύμνωσιν τὴν τοῦ Ἀδάμ, ἡ σκεπάσασα χαῖρε Πανύμνητε.

Στηρίζει μέν, τὰς καρδίας ἀνθρώπων, φυσικῶς ὁ αἰσθητὸς ἄρτος Κόρη· Χριστιανῶν, τὰς ψυχὰς δὲ κρατύνει τὸ σὸν ᾀδόμενον ἅγιον ὄνομα· ἐντεῦθεν καὶ χαρμονικῶς, πᾶσα γλῶσσα τὸ χαῖρε κραυγάζει σοι.

Λυχνία, ἡ χρυσαυγίζουσα χαῖρε, Κιβωτὸς ἡ θεοχώρητος χαῖρε· χαῖρε σκηνή, χαῖρε ἅγιον Ὄρος, χαῖρε τοῦ ζῶντος Θεοῦ πόλις ἔμψυχε· παλάτιον χαῖρε Χριστοῦ· χαῖρε τέμενος θεῖον πολύφωτον.

Ὑπέραγνε, ὑπεράμωμε χαῖρε, τὸ τῆς φύσεως ἐξαίρετον ἄνθος· χαῖρε κοινή, τῶν ἀνθρώπων τοῦ γένους, φιλοτιμία καὶ χάρις θεόσδοτος· τὴν ἄτιμον φύσιν τῶν βροτῶν, ἡ τιμήσασα χαῖρε τῷ τόκῳ σου.

**Τοῦ ἁγίου ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.**

Κλῆμα σὺ ἔφυς σαφῶς, Θεοῦ φυτεία; Νεκτάριε, ταῖς τῶν ἀνόμων χερσί, τεμνόμενος ἔβλυσας, οἶνον τὸν νεκτάριον, τὴν τῶν Ὀρθοδόξων, Ἐκκλησίαν εὐφραίνοντα.

Τιμῶν τὸ ὄνομα Χριστοῦ, κηρύττεις τοῦτο ἐνώπιον, τῶν σῶν ἀγρίων φονευτῶν, ὑφ' οὗ περ δεδόξασαι φανεὶς αὐτοῦ φίλτατος, Νεκτάριε Μάρτυς, νέος ἅμα τε καὶ Ὅσιος.

Παρέστης Μάρτυς Χριστῷ, περιρρεόμενος αἵματι, μαρτύρων δὲ σὺν χοροῖς, χορεύεις γηθόμενος, Νεκτάριε ἔνδοξε, ἀκηράτῳ στέφει, παρ' αὐτοῦ καταστεφόμενος.

**Θεοτοκίον.**

Ἔχοντές σε Ἁγνή, οἱ τὸν σὸν κλῆρον τὸν ἅγιον, οἰκοῦντες πανασφαλῆ, προστάτιν καὶ φύλακα, ὁρμὰς καταστέλλομεν, ἐχθρῶν ἀοράτων, ὁρατῶν τε θεονύμφευτε.

**Τῆς ἁγίας, Ὁ Εἱρμός. Τὴν θείαν ταύτην.**

Ὡς ἄνθος χόρτου ἡ πάνσεμνος, ὁρῶσα Εὐφημία ῥεόμενα, πάντα γήϊνα, δίκην σκυβάλων κατέπτυσεν, ἵνα Χριστὸν κερδίσῃ, ὃν περ ἐπόθησεν.



Καθεῖλες κόρη τὸν δράκοντα, τὸν μέγαν καὶ πολλὰ ἐπαιρόμενον, καὶ κατεβύθισας, ἐν τοῖς κρουνοῖς τῶν αἱμάτων σου, τὸν καθ' ἡμῶν δολίως μηχανευόμενον.

**Δόξα.**

Ὁρῶντες Μάρτυς ὡς ἥδυσμα, ἐν μέσῳ σου τὸ λείψανον κείμενον, τὸ ἱερώτατον, πνευματικῶς εὐωχούμεθα, ἁγιασμὸν καὶ ῥῶσιν ἀπαρυόμενοι.

**Καὶ νῦν. Θεοτοκίον.**

Ξενίζεις πάντας τῷ τόκῳ σου, Παρθένε Παναγία θεόνυμφε, ὢ πῶς ἀπείρανδρος, ὥσπερ πρὸ τόκου γεγέννηκας, καὶ μετὰ τόκον πάλιν, ἔμεινας ἄφθορος.

**Καταβασία.**

» Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς
» Θεομήτορος· δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα
» Θεὸν δοξάζοντες.

**Τοῦ ἁγίου. Κοντάκιον. Ἦχος β΄.**

Τὴν πλάνην τῶν θεομισῶν διέλυσας ἀήττητε, τῆς νίκης λαβὼν τὸ στέφος τῇ ἐνστάσει σου, καὶ Βρυούλλων ἐφάνης ἐγκαλλώπισμα, Ὁσιομάρτυς Νεκτάριε· διό μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

**Ὁ Οἶκος**

Καθαρόν μου τὰς φρένας Ἰησοῦ μου γλυκύτατε, ἵνα ἰσχύσω ἐξυμνῆσαι τὸν ὑπὲρ σοῦ γενναίως ἐναθλήσαντα, Νεκτάριον τὸν Ὁσιομάρτυρα· οὗτος γὰρ τῷ σῷ θείῳ πυρπολούμενος ἔρωτι, ἀνεκήρυξε λαμπρῶς ἐξυμνῶν τὸ σὸν πανάγιον ὄνομα, καὶ ἀφειδήσας ὅλως ἑαυτοῦ, μανιωδῶς ὑπὸ τῶν ἀσεβῶν ὡς ἀρνίον ἐσφάττετο· διὸ καὶ ἐπὶ γῆς ἐδοξάσθη τὸ ἱερὸν αὐτοῦ σκήνωμα, θείῳ φωτὶ ἐλλαμπόμενον· ἡ δὲ μακαρία αὐτοῦ ψυχή, μετὰ Ὁσίων καὶ Μαρτύρων ἐν οὐρανῷ· ἀλλὰ Μάρτυς μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν·

Τῇ ια΄. τοῦ αὐτοῦ μηνός, ἄθλησις τοῦ ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Νεκταρίου τοῦ Νέου τοῦ ἐκ Βρυούλλων.

**Στίχ.** Τὸν Σταυρὸν αἴρων Νεκτάριος Κυρίου,
» Πλάνην πατάσσει τῶν ἀπίστων γενναίως.
» Νεκτάριον τάμε χαλκὸς ἀπίστων ἑνδεκάτηφι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ὅτε τὸν Τόμον τοῦ τῆς πίστεως ὅρου τῶν ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, τῶν ἐν Χαλκηδόνι συνελθόντων, τουτέστι τῆς ἁγίας καὶ Οἰκουμενικῆς Τετάρτης Συνόδου ἐκράτυνεν.

**Εἰς τὴν Εὐφημίαν.**

**Στίχ.** Δίκαζε μάρτυς τοῖς ὅροις καὶ κειμένη,
» Κυροῦσα πίστιν ἧς ἐνήθλησας πόθῳ.

**Εἰς τὴν Σύνοδον.**

**Στίχ.** Θεοῦ Λόγου σάρκωσιν ἀψευδεστάτην,
» Ὁ φάσμα φάσκων Εὐτυχὴς καθῃρέθη.
» Θέσκελον ἑνδεκάτῃ ὅρον ἐμπεδοῖ Εὐφημοίῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Κινδέου τοῦ πρεσβυτέρου.

**Στίχ.** Οὐκ ἄξιόν τι καύσεως ὅλως ἔχων,
» Σωθεὶς πυρὸς τέθνηκας οὕτω Κινδέε.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Λέων ὁ ἐν τῇ μάνδρᾳ, ἐν εἰρήνῃ τελειοῦται.

**Στίχ.** Ἐκ γῆς ἀπελθὼν ἐντρυφᾷ τερπνοῖς Λέων,
» Ὧν εἶχεν ἐν γῇ τὰς ἀπορροίας πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Μάρτυς Μαρκιανὸς μαχαίρᾳ τελειοῦται.

**Στίχ.** Ὑπῆρξε θήκη Μαρκιανέ, σὸς φάρυγξ,
» Χωροῦσα τὴν μάχαιραν, ἣν κατεκρίθης.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος μάρτυς Μαρτυροκλῆς τοξευθεὶς τελειοῦται.

**Στίχ.** Ὁ Μαρτυροκλῆς μαρτύρων εὗρε κλέος,
» Μάρτυς φανεὶς ἄριστος ἐκ τοξευμάτων.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος Νικόδημος, ὁ ἐν τοῖς ὁρίοις τῆς τοῦ Βατοπεδίου ἱερᾶς Μονῆς ἀσκήσας, καὶ διδάσκαλος χρηματίσας τοῦ θείου Γρηγορίου τοῦ Παλαμᾶ διὰ τῆς κατὰ Χριστὸν φιλοσοφίας, ἐν εἰρήνῃ τελειοῦται.

**Στίχ.** Πῶς ἀγέραστον καταλίπω τοῖς λόγοις,
» Τὸν Νικόδημον, ᾧ γέρας νῆψις νόου;

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος νέος Ὁσιομάρτυς Νικόδημος, ὁ μαρτυρήσας ἐν Ἀλβασανίῳ τῆς Ἀλβανίας κατὰ τὸ ἔτος ͵αψκβ΄. (1722) ξίφει τελειοῦται.

**Στίχ.** Ὁ Νικόδημος ῥάβδον ἐν χερσὶ φέρων,
» Πλάνην πατάσσει Ἀγαρηνῶν ἀνόμων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας Ἰσαποστόλου βασιλίσσης Ὄλγας, τῆς διὰ τοῦ ἁγίου βαπτίσματος μετονομασθείσης Ἑλένης τῷ 955 ἔτει. Ταῖς τῶν σῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**Ὠδή, ζ΄. Ὁ Εἱρμός, δίς.**

*»Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ· διὰ τοῦτο οἱ »Παῖδες ἐν τῇ καμίνῳ, ἀγαλλομένῳ ποδί, ὡς ἐν λειμῶνι χορεύοντες »ἔψαλλον· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



*Ἡ μόνη ἀπείρανδρος, ἡ μόνη ἄφθορος χαῖρε Δέσποινα, ἡ Παρθένος καὶ Μήτηρ, ἡ παιδοτόκος, καὶ ἀπειρόγαμος· τὸ ξένον χαῖρε καὶ φρικτὸν μυστήριον· χαῖρε ἀγγέλων τρυφή· χαῖρε ἀνθρώπων χαρά.*

*Σιὼν πόλις ἔμψυχε, τοῦ Βασιλέως τῶν βασιλέων Χριστοῦ, περὶ ἧς ἐλαλήθη, δεδοξασμένα χαῖρε θεόνυμφε· χαῖρε ἡ κλίμαξ, δι' ἧς μεταβαίνομεν, πρὸς οὐρανὸν ἀπὸ γῆς, καὶ ἐκ φθορᾶς εἰς ζωήν.*

*Λειμὼν θεοφύτευτος, εὐώδης κῆπος θεοβλαστούργητος, ἀνεδείχθης Παρθένε, ἀθανασίας ἄνθος ἀνθήσασα, διὸ συμφώνως τὸ χαῖρέ σοι κράζωμεν· χαῖρε χαρᾶς χορηγέ, χαῖρε πηγὴ γλυκασμοῦ.*

*Ὑπέρτιμε Δέσποινα, ἐξ ἀτιμίας παθῶν με λύτρωσαι, ἵνα σοι χαρμοσύνως τὸ χαῖρε κράζω· χαῖρε ἁγνείας πηγή· χαῖρε ταμεῖον πάσης καθαρότητος· χαῖρε δοχεῖον Θεοῦ· χαῖρε χωρίον Χριστοῦ.*

**Τοῦ ἁγίου, Ὁ Εἱρμός. Παῖδες Ἑβραίων.**

*Εἶδες τὴν μόνην Θεοτόκον, πρὸς τὸ στάδιον θαρρύνουσάν σε Μάρτυς, καὶ ἐχθρῶν τὴν ὀφρύν, Νεκτάριε συντρίψας· εὐλογητὸς εἶ Κύριε, ἀνεβόας εἰς αἰῶνας.* (Δίς).

*Ὅμιλον Μάρτυς τῶν μαρτύρων, καὶ τὰ σκάμματα ζηλώσας εὗρες τούτους, σὺν αὐτοῖς τῷ Χριστῷ, Νεκτάριε κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.*

**Θεοτοκίον.**

*Μετὰ τῶν ἄνω στρατευμάτων, τῶν μαρτύρων τε ὁμοῦ καὶ τῶν ὁσίων τῇ Ἁγνῇ κραυγάζομεν Παρθένῳ ὁμοφώνως· εὐλογημένη Πάναγνε, σὺ ὑπάρχεις εἰς αἰῶνας.*

**Τῆς ἁγίας, Ὁ Εἱρμός. Οὐκ ἐλάτρευσαν.**

*Ῥᾷον ἔφερες, βασάνων τὴν δριμύτητα, Μάρτυς πανεύφημε, ἐν στερροτάτῳ νοΐ, ἐξ ὕψους λαμβάνουσα, θείαν βοήθειαν, ὅθεν ἔψαλλες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.*

*Σὺ διήλεγξας, τοῦ Εὐτυχοῦς τὴν ἄνοιαν, τοῦ δυστυχήσαντος, περὶ τὸ σέβας κακῶς, δεινοῦ Διοσκόρου τε, Μάρτυς πανεύφημε, ἀναμέλπουσα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.*

**Δόξα.**

*Ἡ πανεύφημος, ἀμνὰς καὶ καλλιπάρθενος, πάντας ἐκάλεσε, πρὸς εὐωχίαν αὐτῆς· διὸ καὶ εὐφράνθητε, πανηγυρίζοντες, καὶ κραυγάσατε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.*

**Καταβασία.**

*» Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυ-*
*» ρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες, ὑπερύμνη-*
*» τε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.*

**Ὠδή, η΄. Ὁ Εἱρμός, δίς.**

*» Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν*
*» ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιή-*
*» σαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς*
*» τοὺς αἰῶνας.*

Ἰέσσαι ἐκ ρίζης, χαῖρε ράβδος βλαστήσασα· χαῖρε ἡ ἀποτίστως ἀνθηφοροῦσα, ἄνθος τὸν Χριστὸν ὡραῖον· χαῖρε πῖον ὄρος· χαῖρε κατάσκιον· χαῖρε Θεοῦ ὄρος ἐν ᾧ κατοικεῖν ὁ Λόγος, πάντων ηὐδόκησε πρὸ τῶν αἰώνων.

Σιδηρᾷ σου ράβδῳ, κραταιᾶς ἀντιλήψεως, ὡς ὑλακτοῦντας κύνας, ὡς ὠρυομένους θῆρας, τὰ περικυκλοῦντα τὴν ταπεινήν μου ψυχήν, ἀποσόβει πάθη δεινῶς με πολιορκοῦντα, ἵνα τὸ χαῖρέ σοι Παρθένε κράζω.

Ὡραιώθης ὅλη, τὸν ὡραῖον ἐν κάλλεσιν, ὑπὲρ υἱοὺς ἀνθρώπων, Χριστὸν τεκοῦσα, ἡ ἐν γυναιξὶν ὡραία· διό σοι τὸ χαῖρε κράζομεν χαίροντες· χαῖρε Θεοτόκε, Ἁγνὴ Κεχαριτωμένη· χαῖρε τῆς κτίσεως ἐνδοξοτέρα.

Δανιὴλ ὃ εἶδεν, Ὄρος πρὶν ἀλατόμητον, Θεογεννῆτορ χαῖρε, ἐξ οὗ ἐτμήθη ἀκρογωνιαῖος λίθος, χαῖρε θεοδόχε, ἀνθρακοφόρε λαβίς, χαῖρε τῶν ἀΰλων, Ἀγγέλων ἁγιωτέρα, χαῖρε τῆς κτίσεως τιμιωτέρα.

**Τοῦ ἁγίου, Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.**

Πρὸς λιμένα οὐράνιον, προσωρμίσθης Νεκτάριε, πλεύσας ἀκυμάντως, διὰ τοῦ σοῦ αἵματος, καὶ ἔστης γηθόμενος, περὶ τὸν θρόνον τοῦ Ἰησοῦ, ᾄδεις δ᾽ ἐμμελῶς, μετὰ τῶν ἄνω ταγμάτων· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. (δίς).

Ὢ τῆς στερρᾶς ἐνστάσεως! ὢ γενναίου φρονήματος! ὢ τῆς καρτερίας! εὖγε ἀδαμάντινε, Νεκτάριε ἔνδοξε· κατεναντίον τῶν ἀσεβῶν, ἔστης ἀκλινῶς, αὐτῶν τὴν πλάνην ἐλέγχων, βοᾶν μὴ πειθομένων· ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Θεὸς ἡμῖν ἐπέφανε, διὰ σοῦ Παναμώμητε, πίστεως ἀρότρῳ, ὁδὸν ἡμῖν ἔτεμεν, δι᾽ ἧς πορευόμενοι, παραχαράκτους αἱρετικῶν, φεύγομεν Ἁγνή, τὰς βλασφημίας βοῶντες· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, τὴν μόνην Θεοτόκον, εἰς πάντας τοὺς αἰῶνας.

**Τῆς ἁγίας, Ὁ Εἱρμός. Παῖδες εὐαγεῖς.**

Ἔστης πρὸ βημάτων Εὐφημία, τυράννων παρανομούντων ἀνδρικώτατα, τὸν Χριστὸν κηρύττουσα, Θεόν τε καὶ ἄνθρωπον, διπλοῦν ἐν



ταῖς θελήσεσιν, ἅμα καὶ φύσεσι, καὶ κράζουσα· ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὕλην γεηρὰν ἀπεποιήσω, Χριστὸν τὸν νυμφίον σου, ἐπιποθήσασα, οὗτινος τοῖς ἴχνεσι, Μάρτυς ἠκολούθησας· διὸ καὶ συναγάλλῃ νῦν, αὐτῷ κραυγάζουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Εὐλογοῦμεν Πατέρα.**

Φρίττω κατὰ νοῦν ἀναλαμβάνων, τοὺς πόνους σου τοὺς δεινοὺς καὶ τὰ παλαίσματα, οἷς ἐνεκαρτέρησας, γυναικείῳ σώματι, διὰ πολλὴν ἀγάπησιν, Μάρτυς πανεύφημε, Πατρός τε καὶ Υἱοῦ καὶ τοῦ θείου, Πνεύματος τοῦ μόνου, Θεοῦ τρισυποστάτου.

**Καὶ νῦν, Θεοτοκίον.**

Ὅρμος γαληνὸς μόνη ἐδείχθης, Παρθένε χειμαζομένων καὶ προσφύγιον, ἔνθα καταφεύγοντες οἱ κλυδωνιζόμενοι, ἐν τῷ τοῦ βίου κλύδωνι, περισωζόμεθα· διό σε κατὰ χρέος ὑμνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία.**

» Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο· τότε
» μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν,
» ἐγείρει ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς
» πάντας τοὺς αἰῶνας.

**Ὠδή, θ΄. Ὁ Εἱρμός, δίς.**

» Ἔφριξε πᾶσα ἀκοή, τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψι-
» στος, ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, παρθενικῆς ἀπὸ γαστρός,
» γενόμενος ἄνθρωπος· διὸ τὴν ἄχραντον, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Ἰδού σε πᾶσαι γενεαί, μακαρίζουσι, τὴν ἀειμακάριστον, ὡς προεφήτευσας, Θεογεννῆτορ ἐκ θείου Πνεύματος, καὶ ὡς τεκούσῃ τὴν χαράν, τὸ χαῖρε βοῶσί σοι· χαῖρε ζωῆς θησαυρέ· χαῖρε κρήνη, ψυχικὸν μέλι βρύουσα.

Ὤρθωσας Δέσποινα Ἁγνή, τοῦ προπάτορος Ἀδὰμ τὸ ὀλίσθημα, καὶ τῆς προμήτορος, Εὔας τὴν λύπην εἰς χαρὰν ἔτρεψας· ὡς οὖν αἰτία τῆς χαρᾶς, τὸ χαῖρε βοῶμέν σοι· χαῖρε χαρὰ τῶν πιστῶν, χαῖρε τῶν Χριστιανῶν ἀγαλλίαμα.

Ἄξιον χαῖρέ σοι βοᾶν· ἐν σοὶ γὰρ οὐσιωδῶς ἡ ἀΐδιος, χαρὰ ἐσκήνωσε, Παρθένε Κόρη θεογενήτρια· χαῖρε Παράδεισε τρυφῆς· χαῖρε ἡ χρυσόρρειθρος, ἀθανασίας πηγή· χαῖρε νέκταρ ἀληθῶς ἡ προχέουσα.

Νύσσει μου βέλει γλυκερῷ, τὴν καρδίαν ὁ σὸς πόθος Πανύμνητε, καὶ ἐκβιάζει με, χαῖρέ σοι κράζειν διὰ παντὸς καὶ βοᾶν· χαῖρε γαλήνιε λιμήν, χαῖρε ἡ ποντίσασα τὸν νοητὸν Φαραώ, γλυκυτάτη εὐδιάβατος θάλασσα.

**Τοῦ ἁγίου, Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ.**

Ὑψώθης ἐδοξάσθης παρὰ Θεοῦ, ὑπὲρ οὗ σου τὸ αἷμα ἐξέχεας, ὦ ἀθλητά, ξίφει σου τὴν κάραν ἀποτμηθείς, μαρτύρων τοῖς στρατεύμασι, νέων καὶ τῶν πάλαι χαρμονικῶς, χορεύων συναγάλλῃ, ὑπὲρ τῶν σὲ ὑμνούντων, μνείαν Νεκτάριε ποιούμενος.

Ἐκφεύγων σκηνωμάτων ἁμαρτωλῶν, πρὸς τὸ Ὄρος ἀνῆλθες τοῦ Ἄθωνος, καὶ τὴν ἐκεῖ, Σκήτην παροικήσας τὴν εὐαγῆ, τῆς Ἄννης καὶ δι᾽ αἵματος, αὖθις πρὸς τὸ ὄρος τὸ νοητόν, ἀνέπτης δι᾽ Ἀγγέλων, Νεκτάριε τριμάκαρ, νῦν τῇ Τριάδι παριστάμενος.

Ἀνάψας σου τὸν πόθον πρὸς τὸν Χριστόν, οὐδ᾽ ἠρκέσθης ἀσκήσεως σκάμμασιν, ἕως ἐλθών, ἤλεγξας τὴν πλάνην τῶν ἀσεβῶν, ὑφ᾽ ὧν σοφὲ Νεκτάριε, ἀπετμήθης κάραν σου τὴν σεπτήν, ἣν ἔστεψε τὸ θεῖον, ὃ ἐξιλέωσόν μοι, τῷ προσλαλοῦντί σοι ἐν ᾄσμασι.

**Θεοτοκίον.**

Μακάριος λαός τε καὶ ἐκλεκτός, ἀληθῶς ὁ ἀεὶ μακαρίζων σε· καὶ γὰρ Θεόν, Ἄχραντε τεκοῦσα δίχα φθορᾶς, ἐκ ταύτης τοῦτον ἔσωσας, ἴθυνάς τε τοῦτον πρὸς τὸν Θεόν, αὐτὸν οὖν ἐκδυσώπει, πάσης ἡμᾶς ῥυσθῆναι, ὀδύνης τε καὶ θλίψεως.

**Τῆς ἁγίας, Ὁ Εἱρμός. Ἅπας γηγενής.**

Νοῦς οὐκ ἐξαρκεῖ, καὶ λόγος ἀνθρώπινος, ἐκδιηγήσασθαι, τὰς ὑπερφυεῖς τιμάς, καὶ δόξας Μάρτυς, ἅς περ ἀπείληφας, συμβασιλεύειν ἄληκτα, Χριστῷ πανεύφημε, κατ᾽ ἀξίαν, ἄθλων δὲ κεκλήρωσαι, ἀκηράτου τρυφῆς ἀπολαύουσα.

Μύρῳ νοητῷ, ἐχρίσθης πανεύφημε, τοῦ θείου Πνεύματος, καὶ μυρίζεις πάντοτε, τῶν προσιόντων σοι μετὰ πίστεως, ψυχὰς ὁμοῦ καὶ σώματα, καὶ πᾶσαν αἴσθησιν, δι᾽ ἧς πόρρω, ἀποσκορακίζεται, ὁ δυσώδης ἐχθρὸς καὶ παμπόνηρος.

Ἱεροπρεπῶς, τὴν σὴν ἀξιάγαστον πανηγυρίζομεν, καὶ φαιδρὰν πανήγυριν, ἐν τῷ πανσέπτῳ ναῷ σου σήμερον, ἐν ᾧ περ συνηθροίσθημεν, χειραγωγίᾳ πολλῇ, τοῦ ποιμένος, τοῦ καλοῦ πανεύφημε, ὑπὲρ οὗ ἐκδυσώπει τὸν Κύριον.

**Δόξα.**

Ἄναρχε Τριάς, τοὺς θεολογοῦντάς σε σκέπε καὶ φύλαττε· ἔχεις γὰρ πρεσβεύουσαν, περὶ τὴν δόξαν τῆς σῆς λαμπρότητος, μετὰ μαρτύρων πάντοτε τὴν καλλιπάρθενον, Εὐφημίαν, ἧς περ τὰ μνημόσυνα, ἐκτελοῦντες πιστῶς εὐφραινόμεθα.

**Καὶ νῦν, Θεοτοκίον.**

Φωνήν σοι Ἁγνή, προσάγομεν Δέσποινα, πόθῳ βοῶντές σοι· χαῖρε θρόνε πύρινε, Ὑψίστου χαῖρε Θεοῦ παλάτιον, ὃ ὁ Δαβὶδ προέγραψεν, ὄρος πιότατον, Ἀποστόλων, χαῖρε ἡ εὐπρέπεια, καὶ ἡμῶν τῶν ψυχῶν τὸ διάσωμα.



**Καταβασία.**

» Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυ-
» ριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς
» θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀει-
» πάρθενε.

**Ἐξαποστειλάριον· τοῦ ἁγίου. Τοῖς Μαθηταῖς συνέλθωμεν.**

Δικαστικοῦ πρὸ βήματος, τὸν Δεσπότην κηρύξας, νικητικῷ Νεκτάριε, σὺ κατέστεψαι στέφει, καὶ τῷ Χριστῷ παρέστηκας, Μάρτυς λελαμπρυσμένος· αὐτὸν οὖν ἐκδυσώπησον, ὀφλημάτων τὴν λύσιν, τοὺς τὴν φαιδράν, καὶ φωσφόρον μνήμην σου ἐκτελοῦντας, εὑρεῖν καὶ μέγα ἔλεος, τῇ ἐσχάτῃ ἡμέρᾳ.

**Τῆς ἁγίας. Ἐπεσκέψατο ἡμᾶς.**

Καὶ θανοῦσα ζωηρόν, αἱμάτων μύρον ἔβλυσας, ὡς ἐν Θεῷ ζῶντι ζῶσα, καὶ τῶν δογμάτων Χριστοῦ, τὰς πλάκας ταῖς ἀγκάλαις σου, Εὐφημία κατέχεις· διὸ εὐφημοῦμέν σε.

**Θεοτοκίον, ὅμοιον.**

Ὁ Θεὸς ἡμῶν Ἁγνή, καταφυγὴν καὶ δύναμιν, καὶ βοηθόν σε παρέσχεν, ἐν ταῖς θλίψεσιν ἡμῶν, καὶ ἐν ταῖς περιστάσεσι· πάντας οὖν ἡμᾶς ῥῦσαι, ἐκ τῶν ἀναγκῶν ἡμῶν.

Εἰς τοὺς Αἴνους· ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄.

**Τῶν οὐρανίων ταγμάτων.**

Ὁσιομάρτυς Κυρίου, θεῖε Νεκτάριε, Ἀθωνιτῶν Ὁσίων, ἐγκαλλώπισμα θεῖον, καὶ Νεομαρτύρων ἡ χαρμονή, Ὀρθοδόξων τὸ καύχημα, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἀεὶ τιμώντων σε.

Τρόπαια ἔστησας ὄντως, μάκαρ Νεκτάριε κατὰ τῆς δυσσεβείας, ἐναθλήσας γενναίως· ὅθεν πρὸς Κυρίου τὰς ἀμοιβάς, Νεομάρτυς ἀπείληφας, ὃν ὑπὲρ πάντων δυσώπει διὰ παντός, τῶν τελούντων νῦν τὴν μνήμην σου.

Ἀσκητικῶς ἐν τῷ Ὄρει, μάκαρ τοῦ Ἄθωνος, προγυμνασθεὶς καθεῖλες, τῶν δαιμόνων τὰς τάξεις· ὕστερον δὲ πάλιν ἀθλητικῶς, τοὺς υἱοὺς Ἄγαρ ᾔσχυνας· ὅθεν ἐν δόξῃ ἀνῆλθες εἰς οὐρανούς, ἐστεμμένος διπλοῖς στέμμασιν.

Ἀσκητικὴν διανύσας, τρίβον, μακάριε, καὶ στομωθεὶς εἰς ἄκρον, ὥσπερ δίστομον ξίφος, φάλαγγας δαιμόνων τὰς πονηράς, κραταιῶς συγκατέκοψας, καὶ ἐναθλήσας γενναίως ὑπὲρ Χριστοῦ, υἱοὺς Ἄγαρ κατετρόπωσας.

**Δόξα, Ἦχος πλ. α΄.**

Δεῦτε φιλομάρτυρες πάντες, τὸν λαμπρὸν ἀριστέα, καὶ ἀήττητον Μάρτυρα, ἐγκωμίων ᾠδαῖς ὑμνήσωμεν λέγοντες· χαίροις Ὁσιομάρτυς τοῦ Χριστοῦ, Νεκτάριε ἔνδοξε, ὁ προαγωνισθεὶς ἐν τῷ τοῦ Ἄθωνος Ὄρει, ἐν τῇ εὐαγεῖ καὶ σεπτῇ Σκήτῃ, Μητρὸς τῆς Θεοτόκου, καὶ τῇ τοῦ παναγίου Πνεύματος, θείᾳ δυνάμει καθωπλισθείς· χαίροις ὁ μετὰ ταῦτα, κατὰ τῶν ἀθέων Ἀγαρηνῶν στήσας τρόπαια· βροτοὺς ὁμοῦ καὶ Ἀγγέλους εὐφράνας, ἐν τῇ γενναίᾳ ἀθλήσει σου· διὸ στεφάνων ἐνθέων ἠξιώθης, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ καὶ πρεσβεύων μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἐκτελούντων τὴν ἱεράν σου πανήγυριν.

**Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄. Ὠδή, καὶ ἡ ς΄. ἐκ τοῦ Κανόνος τῆς ἁγίας, αἵτινες γράφονται ἐνταῦθα πρὸς εὐκολίαν τοῦ Ἀναγνώστου.

**Ὠδή, γ΄. Ἦχος πλ. δ΄. ὁ Εἱρμός. Ὁ στερεώσας κατ' ἀρχάς.**

Ὃν δι' ἀπάτης μαγικῆς, ἠρνήσω Μάρτυς ἀφρόνως, ὡς ἐκ μέθης ἀνανήψας ἐν τάχει, ὡμολόγησας αὐτόν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, τὴν πλάνην στηλιτεύσας, τὴν τῶν ἀνόμων Νεκτάριε

*Σὺ ταῖς παγίσιν ἀγρευθείς, ἀνεπαισθήτως τῆς πλάνης, καὶ σαυτὸν ἑωρακὼς ἠγρευμένον, θυρεὸν ἀναλαβών, Νεκτάριε, τῆς πίστεως, σὺν τοῖς συστησαμένοις, ταύτας ἀνδρείως συνέτριψας.*

*Σύ με συνέτισον σοφέ, Νεκτάριε ἵνα μέλψω, τοὺς ἀγῶνας προσφυῶς οὓς ὑπέδυς, ὑπ' αὐτῶν δὲ ὡς ἀμνός, ἀνηλεῶς κοπτόμενος, τὴν πλάνην κατατέμνων, τῶν ἀσεβῶν τὴν παμβέβηλον.*

**Θεοτοκίον.**

*Ὄρος σὺ εἶ τὸ ὑψηλόν, ἐξ οὗ ἐτμήθη ὁ λίθος, ὁ λεπτύνας τὰ γλυπτὰ τῶν εἰδώλων δι' ὃ Ἄχραντε σεμνή, ψυχῆς μου τὰ ἰνδάλματα, λεπτύνασα πρὸς ὄρος, τῆς ἀρετῆς με χειραγώγησον.*

**Ὠδή, ς΄. Ἦχος δ΄. ὁ Εἱρμός. Τὴν θείαν ταύτην.**

Ὡς ἄνθος χόρτου ἡ πάνσεμνος, δρῶσα Εὐφημία ῥεόμενα, πάντα τὰ γήϊνα, δίκην κυβάλων κατέπτυσεν, ἵνα Χριστὸν κερδίσῃ, ὃν περ ἐπόθησεν.

Καθεῖλες κόρη τὸν δράκοντα, τὸν μέγαν καὶ πολλὰ ἐπαιρόμενον, καὶ κατεβύθισας, ἐν τοῖς κρουνοῖς τῶν αἱμάτων σου, τὸν καθ' ἡμῶν δολίως μηχανευόμενον.



**Δόξα.**

Ὁρῶντες Μάρτυς ὡς ἥδισμα, ἐν μέσῳ σου τὸ λείψανον κείμενον, τὸ ἱερώτατον, πνευματικῶς εὐωχούμεθα, ἁγιασμὸν καὶ ῥῶσιν ἀπαρυόμενοι.

**Καὶ νῦν, Θεοτοκίον.**

Ξενίζεις πάντας τῷ τόκῳ σου, Παρθένε Παναγία Θεόνυμφε· ὢ πῶς ἀπείρανδρος, ὥσπερ πρὸ τόκου γεγέννηκας, καὶ μετὰ τόκον πάλιν ἔμεινας ἄφθορος.

**Εἶτα. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Τοῦ ἁγίου, Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.**

Τῆς Σκήτεως τὸ ῥόδον, καὶ τοῦ Ἄθω ἐκλόγιον, καὶ τῆς τῶν Βρυούλλων τὸ κλέος, καὶ σεπτὸν θεῖον βλάστημα· Νεκτάριον τιμήσωμεν πιστοί, τὸν Ὅσιον καὶ Μάρτυρα Χριστοῦ, τὸν ἀθλήσαντα γενναίως, καὶ τελέσαντα θαυμάσια παράδοξα· δόξα τῷ ἐνισχύσαντι Χριστῷ· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐν γῇ καὶ οὐρανῷ σὲ θαυμαστώσαντι.

**Τῆς ἁγίας, Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.**

Λίαν εὔφρανας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία Χριστοῦ καλλιπάρθενε· τῆς γὰρ τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ Πατέρες καλῶς ἐδογμάτισαν· Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Εἶτα. Τῆς Μονῆς, καὶ τῆς ἁγίας θεοπρομήτορος Ἄννης. Τοῦ ἁγίου, Κοντάκιον. Ἦχος β.**

Τὴν πλάνην τῶν θεομισῶν διέλυσας ἀήττητε, τῆς νίκης λαβὼν τὸ στέφος τῇ ἐνστάσει σου, καὶ Βρυούλλων ἐφάνης ἐγκαλλώπισμα, Ὁσιομάρτυς Νεκτάριε· διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

**Τῆς ἁγίας, Ἦχος ὁ αὐτός.**

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου· ἀλλὰ καὶ νῦν, ὡς τὰς αἱρέσεις, καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα, ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι πρέσβευε, διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων τὸν Ὅρον λαβοῦσα, καὶ φυλάττουσα πανεύφημε.

Ἀπόστολον καὶ Εὐαγγέλιον, διὰ τὸν ἅγιον Νεκτάριον, (ζήτει) ζήτει εἰς Μάρτυρας. Καὶ ἕτερον Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς ἁγίας Εὐφημίας, ζήτει εἰς τὴν αὐτὴν ἡμερομηνίαν (δηλ. τῆς ἰδίας ἁγίας).

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.**

Εἰ βούλει εἰπὲ εἰς τὰ Ἀπόστιχα τοῦ Μεγάλου Ἑσπερινοῦ τὸ παρὸν Δοξαστικόν.

**Ἦχος πλ. δ΄.**

Νεομαρτύρων ἐγκαλλώπισμα, καύχημα Ὁσίων, τοῦ Ἄθω ὡράϊσμα, ἀγλάϊσμα Βρυούλλων, καὶ θρῆνος τῶν δαιμόνων, Ὀρθοδόξων ὁ ἔπαινος, ἀγαρηνῶν ὁ ἔλεγχος, Ὁσιομάρτυς θεῖε Νεκτάριε, τοὺς ἐκτελοῦντας πιστῶς, τὴν πανσέβαστον μνήμην σου, ἐκ παντοίων κινδύνων φύλαττε, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

μου ὑπερποθῶ· ταῦτα λέγων, ἐξέπληξεν ἅπαντας· παρελθουσῶν δὲ τῶν πέντε ἡμερῶν, ἔφθασε καὶ ὁ Ἡγεμών, ἡμέρᾳ Παρασκευῇ, ὡς λέων ὠρυόμενος κατὰ τοῦ μάρτυρος, ἐπειδὴ ἔμαθε τὰ κατ' αὐτὸν ἅπαντα· εὐθὺς οὖν ἐπρόσταξε καὶ ἔφερον τὸν ἅγιον ἔμπροσθέν του· ἀλλὰ κατὰ πρώτην προσβολὴν τὸν ἠρώτησε μετὰ πραότητος, καὶ γελαστικοῦ προσώπου. «Σὺ εἶσαι ἐκεῖνος ὅπου ἔχουν εἰς τὴν φυλακήν, διότι εἶχες δεχθῇ τὴν πίστην μας, καὶ ἔπειτα τὴν ἀρνεῖσαι τώρα ;» Ναί ! ἀπεκρίθη ὁ μάρτυς· ἐγὼ εἶμαι· λέγει του πάλιν ὁ Ἡγεμών· καὶ ποῖος ἀπὸ τοὺς γκιαβούριδες, σὲ εἶπεν ὅτι θέλεις γένεις ἅγιος μὲ αὐτὸν τὸν τρόπον; ἀπεκρίθη ὁ ἅγιος. Ἡ εὐσπλαγχνία τοῦ Ἰησοῦ Χριστοῦ μου, ὅπου εἶναι ἄπειρος, θέλει με ἐλεήσει, καὶ καθαρίσει τὸν ῥύπον ὅπου ἔλαβα ἀπὸ τὴν σφραγίδα τῆς μιαρᾶς σας πίστεως· καὶ νὰ λαμπρύνῃ τὴν ψυχήν μου μὲ τὴν χύσιν τῶν αἱμάτων μου. Καὶ εἰς ἐσένα μουρτάτη ! τὸν εἶπεν ὁ Ἡγεμών, ἐκατέβη ὁ Θεὸς νὰ βεβαιώσῃ αὐτά ; Ναί ! εἰς ἐμὲ λέγει ὁ μάρτυς· ὁ Ἡγεμὼν βλέπων τὴν παρρησιαστικὴν τόλμην του, πάλιν μὲ κολακείας τοῦ λέγει. Ἔλθὲ παιδί μου εἰς τὸν ἑαυτόν σου ! λυπήσου τὴν νεότητά σου, τὴν εὐμορφίαν σου ! κράτει τὴν πίστιν μας, καὶ ἐγὼ θὰ σὲ κάμω τζιράκι μου, θὰ σὲ χαρίσω μεγάλα ἀγαθά, καὶ σὲ τιμήσω, περισσότερον ἀπὸ ὅλους· εἰδεμή, θέλω σε παιδεύσει ἀσπλάγχνως, καὶ θὰ σὲ θανατώσω ἀνηλεῶς· εἶπεν ὁ μάρτυς· τὰ ἀγαθά σου, καὶ αἱ τιμαί σου μαζῆ σου, καὶ μαζῆ μὲ τὴν θρησκείαν σου, εἴησαν εἰς ἀπώλειαν· ἐγὼ δέ, τὴν Χριστιανικήν μου πίστιν κρατῶ, καὶ τὸ γλυκύτατον ὄνομα τοῦ Χριστοῦ μου κηρύττω καὶ μεγαλύνω διαπαντός, προσκυνῶν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, καὶ ἐπικαλοῦμαι τὴν Κυρίαν μου Θεοτόκον πάντοτε εἰς βοήθειάν μου· τὰς δὲ παιδείας καὶ τὰ βάσανα, ὅπου θέλεις μου κάμει, καὶ αὐτὸν τὸν θάνατον, δὲν τὰ ψηφῶ τελείως, ἀλλὰ ἐπιθυμῶ νὰ τελειώσω ὅσον τάχιστα· ταῦτα ἀκούσας ὁ Ἡγεμών, κατησχύνθη, καὶ ἔπιασε τὰ γένειά του· ὅθεν μὴ εἰδὼς τί ποιῆσαι, ἐπρόσταξε νὰ τὸν ρίψουν πάλιν εἰς τὴν φυλακὴν μὲ ἁλύσεις, καὶ εἰς τὴν ποδοκάκην, σκληρότερον ἀπὸ τὴν πρώτην φοράν· ὁ δὲ μακάριος ἔχαιρε, καὶ ἠγαλλιᾶτο λέγων. «Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος.» Ταῦτα ἐρευνῶν καὶ ὁ φιλομάρτυς ὁσιώτατος Στέφανος, καὶ μανθάνων, ὑπερεφαιδρύνετο· καὶ ὅτι, καθὼς ἦτον ἡ ἀρχή, τοιουτοτρόπως θέλει γένῃ καὶ τὸ τέλος μακάριον ἤλπιζε, καὶ δὲν ἔπαυε νὰ διενεργῇ ἀπ' ἐκεῖ, τὰ πρὸς σωτηρίαν τοῦ μάρτυρος· οἱ δὲ Χριστιανοὶ ἀκούοντες καὶ βλέποντες τὰ τοῦ ἁγίου τρόπαια, μετεβλήθησαν εἰς ἡμερότητα καὶ εὐλάβειαν, παρακαλοῦντες τὸν ἅγιον Θεόν, νὰ τὸν ἐνδυναμώσῃ μέχρι τέλους· κατ' ἐκείνην δὲ τὴν νύκτα τῆς Παρασκευῆς, ἐν ᾗ ἐξημέρωνε Σάββατον, ἐζήτησεν ὁ μακάριος διὰ μέσου τινῶν Χριστιανῶν, τὴν διὰ προσευχῆς βοήθειαν τῶν ἱερέων, καὶ τὴν θείαν Κοινωνίαν τῶν ἀχράντων μυστηρίων· ὅθεν τινὲς τῶν ἱερέων, καὶ λαϊκῶν ἀναθαρρήσαντες, ἀπέστειλαν εἰς αὐτὸν τῷ Σαββάτῳ πρωῒ τὴν ἱερὰν μετάδοσιν, τὴν ὁποίαν λαβὼν εἰς χεῖρας, καὶ προσευχηθεὶς ἱκανῶς, μετέλαβε μετὰ κατανύξεως, καὶ δακρύων πολλῶν· καὶ τοιουτοτρόπως ἐνδυναμωθεὶς ὑπὸ τοῦ θείου καὶ ἀκαταμαχήτου τούτου ὅπλου τῆς θείας Μεταλήψεως, περιέμενε τὴν κατ' αὐτοῦ ἀπόφασιν ὥρᾳ τῇ ὥρᾳ· πλὴν ἀπέρασε καὶ ἐκείνη ἡ ἡμέρα τοῦ Σαββάτου, εἰς τὴν ὁποίαν δὲν ἔλειψεν ὁ Ἡγεμὼν νὰ ἐρωτᾷ αὐτὸν ἀμέσως καὶ ἐμμέσως, πολλαῖς φοραῖς, καὶ νὰ ἀγωνίζεται μεγάλως, μήπως καὶ ἀπατήσει αὐτὸν μὲ τὰς κολακείας του, ἀλλὰ εἰς μάτην ἐκοπίαζεν ὁ παράνομος· τὸ ἑσπέρας λοιπὸν τοῦ εἶπεν, ὅτι αὔριον ὅπου εἶναι ἡ Κυριακή σας, θέλω σὲ ἀποκεφαλίσω ἀνηλεῶς, καὶ θὰ σὲ κατακαύσω τόσον, ὥστε ἡ κόνις σου νὰ μὴ φανῇ· ὁ μάρτυς ἀπεκρίθη· σὲ εἶπα, ὅτι ὅσας παιδείας ἐπινοήσῃς νὰ μὲ κάμῃς, τὰς δέχομαι μετὰ πάσης μου χαρᾶς, διὰ τὴν ἀγάπην τοῦ γλυκυτάτου μου Ἰησοῦ Χριστοῦ· τότε ὁ βάρβαρος Ἡγεμὼν ἀπελπισθείς, ἐπρόσταξε τοὺς δημίους νὰ τὸν βασανίσουν ἀνηλεῶς, οἵτινες καὶ τὸν ἐβασάνισαν διαφόρως, καθὼς διηγοῦντο τρεῖς εὐλαβεῖς Χριστιανοί, οἵτινες χάριν περιεργείας δὲν ἔλειψαν ἀπὸ τὴν ἁγίαν ταύτην θεωρίαν τελείως, καθ' ὅσοι ἠδυνήθησαν, ἐπειδὴ τοὺς εἶχε παραγγείλλει ὁ ὅσιος Χατζῆ Στέφανος· τὰ δὲ βάσανα ἦτον ξυλισμοί, καὶ τάσια χαλκωματένια πεπυρωμένα εἰς τὴν κεφαλήν, καὶ ἄλλα τινά· ἕως ὅπου ἔμεινεν ὁ ἅγιος ἡμιθανής· ἔπειτα τὸν ἔρριψαν πάλιν ὡς νεκρὸν εἰς τὴν φυλακήν· ἀλλ' ἡ θεία δύναμις ἐπρόφθασε. καὶ εἰς καταισχύνην τῶν ἀθέων ἀγαρηνῶν, καὶ εἰς στηριγμὸν τῆς σωτηρίας τῶν Ὀρθοδόξων· ἐφάνη ὁ μάρτυς ὑγιὴς καὶ ὡραῖος ὡς πρότερον, ψάλλων : «Ἐξομολογήσομαί σοι Κύριε, ἐν ὅλῃ τῇ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου· εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί· καὶ σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ . . τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου . . ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ . . Σὺ Κύριε ὁ Θεός μου οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος· ἐπίβλεψον ἐπ' ἐμέ . . Ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν.» Καὶ ἄλλους ψαλμοὺς καὶ εὐχὰς λέγων ἀγαλλόμενος οὐκ ἔπαυσεν, ἕως τῆς τρίτης ὥρας τῆς λαμπρᾶς, καὶ ἀξιομνημονεύτου ἐκείνης Κυριακῆς, ἐν ᾗ ἑωρτάζετο καὶ ἡ μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος Εὐφημίας, τῇ ἑνδεκάτῃ τοῦ Ἰουλίου· τότε συνήχθησαν πάντες οἱ προὔχοντες τῶν Ὀθωμανῶν, καὶ εἶπον τῷ Ἡγεμόνι : Ἐφέντη ! δὲν συμφέρει πλέον νὰ ζῇ αὐτὸς ὁ νέος· ὅστις ἐφάνη ἀπειθής, καὶ καταισχύνεται ἡ θρησκεία μας, μὲ τὸ πολύ του γινάτι. Λοιπὸν ὁ Ἡγεμὼν τὸν ἐπαρέδωκεν εἰς αὐτούς, νὰ τὸν ὑπάγωσιν εἰς τὸν Κριτήν· καὶ ἐὰν δὲν καταπεισθῇ, νὰ γράψῃ τὴν κατ' αὐτοῦ ἀπόφασιν· τότε ἐξάγουσιν αὐτὸν ἐκ τοῦ Ἡγεμόνος, γυμνόν, ἀνυπόδητον, ἀσκεπῆ, μὲ ἓν ὑποκάμισον μόνον, καὶ σώβρακον ἐσκεπασμένον· αὐτὸς δὲ ὑπερχαρὴς ὅλος, καὶ ὑπέρλαμπρος, ὡς ἄλλος Ἄγγελος



ἐφαίνετο ὁ τρισόλβιος. Φθάσας δὲ εἰς τὸν Κριτήν, καὶ ἐρωτηθείς, αὐτὸς εἶπε μεγαλοφώνως τὸ πιστεύω ὅλο, παρρησίᾳ παντὸς τοῦ πλήθους τῶν ἀγαρηνῶν, χωρὶς νὰ δειλιάσῃ ποσῶς· τότε ἐβάφη κάλαμος ἀποφάσεως κεφαλικῆς τιμωρίας. Ὅθεν σύροντες οἱ δήμιοι τὸν μακάριον ὡς ἄγρια θηρία, σπρώχνοντες, δέροντες ἀσπλάγχνως, ἀλλ' ἐκεῖνος ἔτρεχεν ὡς ὑπόπτερος ἀπὸ τὴν χαράν, πῶς ἔφθασεν ἡ ὥρα τοῦ πεποθημένου τέλους του, ἕως εἰς τὸ λεγόμενον Μέλκατζα παζάρι, τόπον τῆς καταδίκης. Ἐκεῖ δὲ ὅτι ἡτοιμάζετο ἕνας Ἄραψ δήμιος, διὰ νὰ τὸν ἀποκεφαλίσῃ· μόνος ὁ Χριστομάρτυς ἐγονάτισε φαιδρῷ τῷ προσώπῳ· ἀλλ' ὁ βάρβαρος διὰ νὰ τὸν ἐκφοβίσῃ, ἐμετατόπισεν αὐτὸν τρεῖς φοραῖς· ὁ δὲ ἅγιος μηδὲν δειλιάσας μετεσηκώνετο, καὶ ἐγονάτιζεν, ὅπου τὸν ἐκτύπησεν ὁ Ἄραψ μὲ τὴν μάχαιραν ὅλαις δυνάμεσι· καὶ μόλις ἐκόπη ὁ μακάριός του λαιμὸς δύω δάκτυλα· ὁ δὲ θηριογνώμων ἐκεῖνος ἔμεινεν ἡμίξερος, ὡσεὶ νεκρός, μὴ δυνηθεὶς νὰ δευτερώσῃ, εἰς τὸν ὁποῖον εἶπεν ὁ ἅγιος τουρκιστί, τί στέκεις ; δὲν κτυπᾷς ; ὅθεν ἄλλος δήμιος, σκληρότερος τοῦ Ἄραβος, καὶ ὠμότερος, ἔρριψε τὸν ἅγιον πρηνῆ, καὶ ἔκοψε τὴν ἁγίαν του κεφαλήν, καὶ οὕτως ἐτελειώθη λαμπρῶς, καὶ μετὰ θριάμβου, καὶ ἡρωϊκῆς καρτερίας τὸ μαρτύριον· μετὰ τοῦτο ἐπροστάχθησαν μετὰ ἀγριότητος καὶ αὐστηρίας, οἱ ἐκεῖσε εὑρεθέντες τρεῖς Χριστιανοί, νὰ ἐγείρουν τὸ ἅγιον λείψανον, καὶ νὰ ὑπάγουν νὰ τὸ ρίψουν εἰς ἕνα ξηροπήγαδον, ἔχων βάθος τι μέτριον· καὶ ἐκεῖ πάλιν προστάζωνται, νὰ ρίψωσιν ἐπάνω τοῦ λειψάνου λίθους καὶ ξύλα ἀρκετὰ νὰ τὸ παραχώσουσι.

Μετὰ καιρὸν δέ, ἔγινε καὶ ἡ ἀνοικομιδὴ τοῦ ἁγίου λειψάνου ἀπὸ τὸ εἰρημένον ξηροπήγαδον τοιουτοτρόπως. Ὁ Χατζῆ Στέφανος αἰσθόμενος τὴν δυσκολίαν τῆς ἀνακομιδῆς, μὲ τὸ νὰ ἦτον ξηροπήγαδον εἰς μαχαλᾶν τουρκικόν, μακρὰν ἀπὸ κάθε Χριστιανικὴν συνοικίαν, ἐσυμβουλεύθη περὶ τούτου τινὰς ὀρθοδόξους Χριστιανούς, ξένης διοικήσεως· οἵτινες ὡς ἔχοντες παρρησίαν, νὰ ἤθελον μεσιτεύσῃ εἰς τοὺς ἡμετέρους κρατοῦντας, νὰ τοῖς δώσωσι τὸ ἅγιον λείψανον· αὐτοὶ ὅμως ἀπεκρίθησαν εἰς αὐτὸν (τὸν Χατζῆ Στέφανον) ὅτι νὰ μὴ ἔχῃ περὶ τούτου πολλὴν φροντίδα. Ἐπειδὴ ὁ Θεὸς ὅπου ἐδυνάμωσε τὸν ἅγιον εἰς ἕνα τοιοῦτον καλλίνικον τέλος τοῦ μαρτυρίου, αὐτὸς ἔχει καὶ τὴν πανάγαθόν του νεῦσιν, τὸ νὰ μὴ ὑστερηθῶσιν οἱ εὐσεβεῖς του τὴν ἀπόκτησιν τοῦ θησαυροῦ, πρὸς ὠφέλειαν καὶ στηριγμόν των. Αὕτη ἡ συμβουλὴ κοινολογηθεῖσα εἰς μερικοὺς Χριστιανούς, ἀλείπτας καὶ συνεργοὺς τοῦ ἁγίου ὅταν ἐμαρτύρει, τοὺς ἐπαρώξυνε νὰ ὑπάγουν νὰ περιεργασθοῦν εἰς τὸ ξηροπήγαδον· καὶ ὢ τοῦ θαύματος ! εἶδον τὸ ἅγιον λείψανον, ὄχι σκεπασμένον μὲ λίθους καὶ ξύλα, κατὰ τὸν τρόπον ὅπου ἐνταφιάσθη, ἀλλὰ κείμενον ἐπὶ τῆς ἐπιφανείας εἰς τὸ ἔδαφος τοῦ πηγαδίου· τοῦτο μαθὼν ἕνας ἱεροδιάκονος Καλλίνικος λεγόμενος, ἀλείπτης πρόθυμος τοῦ ἁγίου ἐν καιρῷ τοῦ μαρτυρίου του. ὅστις καὶ εἰς τὸν οἶκόν του τὸν εἶχε κρυπτόμενον πολλάκις, ὅταν οἱ Χριστιανοὶ φοβούμενοι τὸν θυμὸν τῶν κρατούντων τὸν ἐδίωκον ἀπὸ τὴν πολιτείαν, ἐξ αἰτίας τοῦ ὁποίου καὶ μόνου φόβου, εἶχε φύγῃ εἰς Σμύρνην καὶ ὁ Χατζῆ Στέφανος, καὶ τὸν ἐπαράδωσεν εἰς τὴν προστασίαν καὶ παρηγορίαν τοῦ Καλλινίκου· οὗτος λέγω, ἀφοῦ ἔμαθε ὅτι τὸ ἅγιον λείψανον δὲν ἦτον παραχωμένον, λαμβάνων διὰ νυκτὸς εἰς χεῖράς του ἕνα καλάθι, ὑπῆγεν εἰς τὸ πηγάδι, καὶ κατεβαίνοντας μέσα, ἂν καὶ ἀρκετὸν ἔχον βάθος, ἔλαβε τὰ ἅγια λείψανα, καὶ ἀνεχώρησε· μαθὼν δὲ τοῦτο καὶ ὁ Χατζῆ Στέφανος, ἦλθεν εἰς αὐτόν, καὶ τὰ ἐμοιράσθησαν μετ' εἰρήνης. Μόλον τοῦτο ὁ διάκο Καλλίνικος δὲν ὠφελήθη οὐδὲ παραμικρὸν ἀπὸ τὴν ἀπόκτησιν τοιούτου θησαυροῦ. Καὶ ὁ Χατζῆ Στέφανος πολλὰ ὀλίγον· δηλαδὴ μὲ μόνην τὴν εὐλάβειαν ὅπου μόνος του, καὶ ὄχι καὶ ἄλλος κανείς, εἶχεν εἰς αὐτά· εἰμὴ μόλις καὶ μετὰ βίας μετὰ ὁλοκλήρους εἴκοσι χρόνους· ὁπόταν κατὰ τύχην, ἕνα ἐπίσημον ἐκκλησιαστικὸν ὑποκείμενον, ἔτυχε νὰ λάβῃ εἰς χεῖρας του τὴν ἁγίαν κάραν, καὶ τὴν ἐπεριεργάζετο μὲ θαυμασμόν τινα, ἔπειτα ἔρριψε καὶ ἕνα ψυχρότατον μέν, ἀλλ' ὅμως φρονιμώτατον, καὶ ὠφελιμώτατον λόγον· οὗτος, λέγει, ἐὰν ἦτον ἅγιος, ἆρα γε τὸν θερμότατον ὑπερασπιστὴν καὶ ἀλείπτην του εἰς τὸ μαρτύριον χρηματίσαντα, πῶς δὲν ἤθελε τὸν φωτίσει, νὰ φύγῃ ἀπὸ τὴν ἀναξίαν τοῦ ἐπαγγέλματός του ἀναστροφὴν ἐν τῷ κόσμῳ ; οὗτος ὁ λόγος ἐπέρασε ὡς βέλος ὀξύ, εἰς τὴν καρδίαν τοῦ Χατζῆ Στεφάνου, ἐπειδὴ ἄναψεν εἰς αὐτὸν τὴν αὐτομεμψίαν, ὅτι ἐξ αἰτίας τῆς ὄχι ἀκριβοῦς πολιτεύσεώς μας, ἀπιστεῖται ἡ ἀναντίρρητος καὶ ὁμολογουμένη ἁγιότης τῶν μαρτύρων. Ὅθεν ἀμέσως κόπτων κάθε σύνδεσμον ὅπου τὸν ἐκράτει εἰς τὴν ἐν τῷ κόσμῳ ἀναστροφήν του, ἂν καὶ σεμνὴν καὶ ἀκατάγνωστον, ἀνεχώρησεν εὐθὺς διὰ τὸ ἅγιον Ὄρος, φέρων μεθ' ἑαυτοῦ, καὶ τὸν ἱερώτατον θησαυρόν. Ὅλον τὸ ἐξ ἐναντίας εἰς τὴν εὐλαβεστάτην μητέρα τοῦ ἁγίου, μολονότι καὶ κοσμικήν, ἡ ὁποία ἀξιωθεῖσα καὶ αὐτή, πρὸς παρηγορίαν της, μέρος τοῦ ἁγίου λειψάνου, καθὼς ἦτον καὶ δίκαιόν της, δὲν ἔπαυσε νὰ ἐκτελεῖ θαύματα, θεραπεύουσα ἀσθενεῖς. Καὶ τοῦτο ὅλον, διὰ νὰ εἶναι ἀναντίρρητον καὶ ἀψευδὲς τό : «Ἐὰν ἡ συνείδησις ἡμῶν, μὴ καταγινώσκῃ ἡμῶν παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν, ὥστε νὰ δυνάμεθα καὶ ὄρει μεθιστάνειν».